ΕΥΧΟΛΟΓΙΟΝ

Δʹ

ΕΓΚΑΙΝΙΑΣΤΙΚΟΝ



ΕΚΔΟΣΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ ΣΙΜΩΝΟΣ ΠΕΤΡΑΣ
ΑΓΙΟΝ ΟΡΟΣ

ΕΥΧΟΛΟΓΙΟΝ

Δ΄

ΕΓΚΑΙΝΙΑΣΤΙΚΟΝ


ΗΓΙΑСΜΕΝΕ
ΝΑΕ
ΜΡ
ΘΥ

ΕΥΧΟΛΟΓΙΟΝ


Δ΄

ΕΓΚΑΙΝΙΑΣΤΙΚΟΝ

περιέχον τὴν τάξιν

ΤΩΝ ΕΓΚΑΙΝΙΩΝ ΤΟΥ ΝΑΟΥ

Ὡς καὶ τὰς συναφεῖς τάξεις καὶ ἀκολουθίας



Β΄ Ἔκδοσις

ΕΚΔΟΣΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ ΣΙΜΩΝΟΣ ΠΕΤΡΑΣ
ΑΓΙΟΝ ΟΡΟΣ 2006



Εἰσαγωγικὸν σημείωμα

*Χάριτι καὶ ἐλέει Θεοῦ ἐκδίδεται καὶ ὁ παρὼν τέταρτος τόμος τοῦ Εὐχολογίου μὲ τὸν ὑπότιτλον **«Ἐγκαινιαστικόν, περιέχον τὴν τάξιν τῶν Ἐγκαινίων τοῦ Ναοῦ, ὡς καὶ τὰς συναφεῖς τάξεις καὶ ἀκολουθίας»**. Προσφορώτερος μονολεκτικὸς ὑπότιτλος, ἀνταποκρινόμενος καὶ δηλωτικὸς τοῦ κυρίου περιεχομένου τοῦ μετὰ χεῖρας τομιδίου, ἦτο ἀδύνατον νὰ εὑρεθῇ, ἀλλ' ἐν συγκαταβάσει ἂς θεωρηθῇ ὡς ὁ πλέον κατάλληλος, ὡς προσδιοριστικὸς τῆς κυρίας καὶ ἐκτενεστέρας ἀκολουθίας τῆς περιεχομένης ἐν αὐτῷ, τῆς τάξεως δηλονότι τῶν ἐγκαινίων τοῦ ναοῦ. Κυκλοφορεῖται δὲ ἡ ἔκδοσις αὕτη καὶ συντονίζεται χρονικῶς πρὸς κορυφαῖον γεγονὸς τῆς ἱστορίας καὶ τοῦ βίου τῆς Ἱερᾶς Μονῆς Σίμωνος Πέτρας καὶ τοῦ ἐν Ὁρμυλίᾳ Χαλκιδικῆς Ἱεροῦ Μετοχίου αὐτῆς, τοῦ Ἱεροῦ Κοινοβίου Μοναζουσῶν, τοῦ τιμωμένου ἐπ' ὀνόματι τοῦ Εὐαγγελισμοῦ τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, οὗ τὸ λαμπρὸν νεόδμητον καθολικὸν ἐγκαινιάζεται διὰ τῶν ἱερῶν χειρῶν τοῦ Παναγιωτάτου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ Οἰκουμενικοῦ Πατριάρχου Κυρίου κ. Βαρθολομαίου τὴν πρώτην Ἰουνίου μηνὸς τοῦ τρέχοντος σωτηρίου ἔτους βγ', Κυριακὴν πέμπτην ἀπὸ τοῦ ἁγίου Πάσχα, ἐν ᾗ τὴν ἀνάμνησιν τῆς ἰάσεως τοῦ ἐκ γενετῆς τυφλοῦ ἐκ τοῦ ἱεροῦ κατὰ Ἰωάννην Εὐαγγελίου μνείαν ποιεῖσθαι οἱ θειότατοι Πατέρες ἡμῶν παρέδωκαν ἡμῖν. Τοῦ ἱστορικοῦ τούτου ἱεροῦ γεγονότος τὴν ἀνάμνησιν θέλει διαιωνίζει ἡ ἔκδοσις αὕτη πρὸς δόξαν μὲν Θεοῦ, τιμὴν δὲ τῆς Ὑπεραγίας Θεοτόκου, μνημόσυνον δὲ αἰώνιον τῶν κτητόρων τῶν ἁπανταχοῦ τῆς δεσποτείας Κυρίου ἱερῶν ναῶν καὶ μονῶν καὶ τῆς ἁγιωτάτης ἐκκλησίας τοῦ Ἱεροῦ τούτου Κοινοβίου.*

***

Ἡ ἀκολουθία τῶν ἐγκαινίων τοῦ ναοῦ εἶναι ἀπὸ τὰς πλέον λαμπράς, ἀλλὰ καὶ τὰς πλέον μακρὰς καὶ πολυπλόκους ἀκολουθίας, καὶ εἰς τὸν βυζαντινὸν λεγόμενον λειτουργικὸν τύπον, κατὰ τὸν ὁποῖον ῥυθμίζονται αἱ τάξεις τῆς Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους λειτουργικοὺς τύπους τῆς χριστιανικῆς οἰκουμένης. Εἶναι δ' εὐεξήγητον τοῦτο,

δεδομένης τῆς ἐξαιρέτου σπουδαιότητος τοῦ λειτουργικῶς καλυπτομένου ὑπ' αὐτοῦ γεγονότος, τῆς καθιερώσεως δηλαδὴ χώρου λατρείας, καθαγιασμοῦ αὐτοῦ καὶ ἀναθέσεως αὐτοῦ εἰς τὸν Θεόν. Καὶ αὐτὴ αὕτη ἡ καθιέρωσις τοῦ ναοῦ, ἀλλὰ καὶ ἡ ἐν τῷ Ἰουδαϊκῷ καὶ τῷ εἰδωλολατρικῷ προχριστιανικῷ κόσμῳ ὕπαρξις παρομοίων λατρευτικῶν ἐκδηλώσεων καὶ τελετῶν, ἀπετέλουν προϋπόθεσιν ἰσχυρὰν διὰ τὴν διοργάνωσιν καὶ παρὰ τοῖς Χριστιανοῖς παρομοίων λατρευτικῶν σχημάτων, μαρτυρουμένων κυρίως ἀπὸ τῆς ἀναγνωρίσεως τοῦ Χριστιανισμοῦ ὡς ἐλευθέρας καί, κατόπιν, ἐπικρατούσης θρησκείας. Ναοὶ μεγάλοι καὶ ἐπιφανεῖς, κτιζόμενοι εἰς τὴν ἁγίαν Πόλιν καὶ τὴν Παλαιστίνην, εἰς τὴν Ρώμην καὶ τὴν Νέαν Ρώμην καὶ πανταχοῦ τῆς οἰκουμένης δι' αὐτοκρατορικῶν κυρίως δωρεῶν καὶ ἐπιχορηγήσεων, μαρτυρεῖται ὅτι ἐνεκαινιάσθησαν διὰ λαμπρῶν πολυημέρων τελετῶν, τῇ συνδρομῇ συνόδων καὶ πολλῶν ἐπισκόπων. Ἐπὶ μακρόν, πάντως, ἐκ τῶν ἐνδείξεων καὶ τῶν ὑπαρχουσῶν μαρτυριῶν καταφαίνεται, ὅτι ἡ κυρίως τελετὴ τῶν ἐγκαινίων συνίστατο εἰς τὴν ἐπὶ τῆς ἁγίας τραπέζης τοῦ νέου ναοῦ πρώτην τέλεσιν τῆς θείας λειτουργίας.

Ταχέως ὅμως ἡ τελετὴ πορεύεται ἐπὶ τὸ συνθετώτερον καὶ πολυπλοκώτερον, προσλαμβάνουσα βαπτισματικὰ στοιχεῖα, συνδυαζομένη πρὸς λιτανείας, κυκλικὰς περὶ τὸν ναὸν περιφοράς, ἐχούσας οἱονεὶ τὸ νόημα τῆς πολιορκίας καὶ τῆς καταλήψεως τοῦ μέχρι τότε ἀνιέρου χώρου, πανηγυρικῆς ἀνοίξεως τῶν πυλῶν, ἐκπλύσεων τῆς ἁγίας τραπέζης καὶ δι' ἁγίου μύρου χρίσεως αὐτῆς καὶ τοῦ ναοῦ. Ἰδίως δ' ἐπηρέασαν τὴν διαμόρφωσιν τῆς ἀκολουθίας αἱ παλαιότερον ἐθισθεῖσαι καὶ ὑπὸ τῆς ἁγίας Ζ' Οἰκουμενικῆς Συνόδου (787) γενικευθεῖσαι καὶ καταστᾶσαι ὑποχρεωτικαὶ καταθέσεις κατ' ἀρχὴν μαρτυρικῶν ἁγίων λειψάνων.

Εἰς τὸ ἀρχαιότερον σῳζόμενον βυζαντινὸν Εὐχολόγιον, τὸν Βαρβερινὸν κώδικα 336, (φ. 145r - 159r), «Τάξις γινομένη ἐπὶ καθιερώσεως ἁγίου ναοῦ καὶ τῆς ἐν αὐτῷ ἁγίας τραπέζης», ἐν γενικαῖς γραμμαῖς ἡ ἀκολουθία παρουσιάζεται σχεδὸν πλήρως διαμεμορφωμένη, ἔχει ὅλα ἢ σχεδὸν ὅλα τὰ ὡς ἄνω στοιχεῖα, τυπικὰς διατάξεις, διακονικὰ καὶ ἑπτὰ εὐχάς, περίπου τὰς σημερινὰς τῶν Εὐχολογίων μας. Εἰς τὰ παλαιὰ χειρόγραφα δὲν φαίνεται νὰ ὑπάρχῃ ἰδιαιτέρα ποικιλία. Ἡ μετὰ ταῦτα ἐξέλιξις συνίσταται εἰς τὴν σύνδεσιν μετὰ τῆς καθ' αὐτὸ ἀκολουθίας τῶν ἐγκαινίων καί, ἐκ δανείου, τῆς μοναχικῆς ἀκολουθίας τῶν ἐγκαινίων τοῦ ναοῦ τῆς Ἀναστάσεως τῶν Ἱεροσολύμων (ιγ' Σεπτεμβρίου), τοῦ ἑσπερινοῦ δηλαδὴ καὶ τοῦ ὄρθρου τῆς ἡμέρας ἐκείνης, πρᾶγμα τὸ ὁποῖον προεκάλεσε σχεδὸν τὸν διπλασιασμὸν τοῦ μήκους τῆς ὅλης ἀκολουθίας.

Λαμπρὸν σχολιασμὸν τῆς ἀκολουθίας τῶν ἐγκαινίων τοῦ ναοῦ προσφέρει ἐκ τῶν πατέρων ὁ ἅγιος Συμεὼν Θεσσαλονίκης († 1429) εἰς τὸν «**Διάλογον**» αὐτοῦ (κεφ. ρ´ - ρνε´: «**Περὶ τοῦ ἁγίου ναοῦ καὶ τῆς τούτου καθιερώσεως**»), ὅπου παρέχεται καὶ πλήρης τυπικὴ διάταξις, βοηθοῦσα τὰ μέγιστα εἰς τὴν ἀποκατάστασιν μεταγενεστέρως ἐπελθουσῶν φθορῶν. Ἐκ τῆς πατερικῆς δὲ γραμματείας μνημονευτέον καὶ τὸ σύντομον ὑπόμνημα τοῦ μακαρίου Νικολάου τοῦ Καβάσιλα «**Τίνα συντέλειαν (...) παρέχεται ἡ καθιέρωσις τοῦ ἱεροῦ θυσιαστηρίου**» («**Περὶ τῆς ἐν Χριστῷ ζωῆς**», Λόγος Ε´, ἰδίᾳ §§1-4). Τοῦτο ὅμως, λόγῳ τῆς συντομίας αὐτοῦ καὶ δὴ τῶν μὴ τελετουργικῶν ἐνδιαφερόντων τοῦ συγγραφέως, στερεῖται τῆς πρακτικῆς ἐπὶ τῆς τάξεως τῆς λατρείας σπουδαιότητος τοῦ μνημειώδους ἔργου ἐκείνου τοῦ ἁγίου Συμεών.

Κατὰ τὴν μετὰ τὴν ἅλωσιν ἐποχήν, ἀκόμη καὶ πρὸ αὐτῆς, αἱ ἱστορικαὶ συγκυρίαι δὲν ηὐνόησαν ὄχι μόνον τὴν ἀνάπτυξιν τῆς ἀκολουθίας, ἀλλ᾽ οὐδ᾽ αὐτὴν τὴν καλὴν συντήρησιν αὐτῆς. Ἡ λιτανεία ἀπώλεσεν οὐσιαστικῶς τὴν δυναμικότητά της καὶ περιωρίσθη εἰς τοὺς περὶ τὸν νέον ναὸν τρεῖς γύρους, ἐνῷ ἡ ἐκ τοῦ παλαιοῦ εἰς τὸν νέον ναὸν μετάβασις ἢ δὲν ἦτο δυνατὴ ἢ καὶ τελείως ἐλησμονήθη, ἀπολέσασα οὕτω τὴν σπουδαιότητα καὶ τὸ θεολογικὸν αὐτῆς νόημα, ὅτι δηλαδὴ «**ὥσπερ κατὰ διαδοχὴν ἡ χάρις πρὸς ἡμᾶς, ὡς ἀπὸ Σωτῆρος διὰ τῶν Ἀποστόλων καὶ τῶν διαδόχων αὐτοῦ ἄχρις ἡμῶν ἔρχεται διὰ τῆς χειροτονίας, οὕτω καὶ διὰ τῶν πρώτων ναῶν εἰς νεωτέρους ναούς**», ὡς λίαν εὐστόχως ὁ ἅγιος Συμεὼν ὑπογραμμίζει («Διάλογος», κεφ. ριζ´). Μεταγενεστέρως προφανῶς εἰσήχθη καὶ δεύτερον ζεῦγος ἀναγνωσμάτων - Ἀπόστολος καὶ Εὐαγγέλιον - κατὰ τὴν δευτέραν πρὸ τῶν πυλῶν τοῦ νέου ναοῦ στάσιν, κατὰ μίμησιν τῆς πρώτης στάσεως. Τὸ Εὐαγγέλιον παραδόξως εἶναι τὸ γνωστὸν θεομητορικὸν (Λουκ. ι´ 38-42 καὶ ια´ 27-28), ἑλκυσθὲν ἀπὸ τὴν συνδεδεμένην πρὸς αὐτὸ ἀποστολικὴν περικοπήν, ἥτις ὄντως ἀναφέρεται εἰς τὸν πρῶτον ἰουδαϊκὸν ναόν, τὴν προτύπωσιν τοῦ χριστιανικοῦ (Ἑβρ. θ´ 1-7). Εἰς νεωτάτας δὲ ἐκδόσεις εἰσήχθησαν ἢ ἐξήρθησαν πρὸς ὡραϊσμὸν τῆς ἀκολουθίας δευτερεύοντα ἢ μὴ ὅλως μαρτυρούμενα στοιχεῖα, ὡς αἱ δύο μακρόταται εὐχαὶ εὐλαβείας τοῦ Πατριάρχου Κωνσταντινουπόλεως Καλλίστου, ὁ ρμβ´ ψαλμός, ἡ ἐπιδεικτικὴ ἀφὴ τῆς ἀκοιμήτου λυχνίας καὶ ἄλλα τινά. Αἱ σπουδαιότεραι ὅμως ἀλλαγαὶ ἦσαν δύο, αἱ ὁποῖαι ἔθιξαν αὐτὴν τὴν δομὴν τῆς ἀκολουθίας· πρῶτον, ἡ ἀντίστροφος θέσις τὴν ὁποίαν ἔλαβεν ἡ λιτανεία

καὶ ἡ κατάθεσις τῶν λειψάνων ὑπὸ τὴν ἁγίαν τράπεζαν, γινομένη ἐξ ἔθους καὶ διὰ πρακτικούς, ὡς φαίνεται, λόγους ἐξ ἀρχῆς καὶ πρὸ τοῦ καθαγιασμοῦ τῆς ἁγίας τραπέζης, ἐνῷ αὕτη ἀνέκαθεν εἵπετο, καί, δεύτερον, ὁ οὐσιαστικὸς χωρισμὸς τῆς ἀκολουθίας τῶν ἐγκαινίων ἀπὸ τῆς θείας λειτουργίας. Ἐνῷ δηλαδή, κατὰ τὴν παλαιὰν καὶ ὀρθὴν πρᾶξιν, τὰ ἐγκαίνια ἐντάσσονται ἐντὸς τῆς θείας λειτουργίας, τελούμενα κατὰ τὴν διάρκειαν καὶ ὡς πρῶτον μέρος αὐτῆς, καὶ κορυφοῦνται διὰ τῆς τελέσεως τῆς θείας εὐχαριστίας ἐπὶ τῆς ἄρτι καθαγιασθείσης ἁγίας τραπέζης, ἐθεωρήθη ὅτι ταῦτα λήγουν μετὰ τὴν ἐκτενῆ τὴν λεγομένην ἀμέσως μετὰ τὸ τρίτον ζεῦγος τῶν ἀναγνωσμάτων (Ἑβρ. γ´ 1-3 καὶ Ἰωάν. ι´ 22-31). Οὕτω κατὰ τὴν νεωτερικὴν αὐτὴν τάξιν γίνεται τότε ἀπόλυσις, ἄρχεται δ' ἐξ ὑπαρχῆς ἡ θεία λειτουργία μετ' ἀντιφώνων καὶ νέων ἀναγνωσμάτων, παρατεινομένης οὕτως, ἄνευ λόγου καὶ παρὰ τὴν ὀρθὴν τάξιν, ἐπὶ ἡμίωρον τοὐλάχιστον τῆς χρονικῆς διαρκείας τῆς ἤδη μακροτάτης ἀκολουθίας. Κατὰ τὴν ἀρχαίαν καὶ ὑπὸ τῶν κωδίκων μαρτυρουμένην τάξιν, τοῦ ὡς ἄνω ζεύγους τῶν ἀναγνωσμάτων προηγεῖται τὸ τρισάγιον, λέγονται τὰ ἀναγνώσματα, ἡ ἐκτενὴς καὶ ἐφεξῆς αἱ εὐχαὶ τῶν πιστῶν, τὸ χερουβικὸν καὶ ἡ λοιπὴ τάξις τῆς θείας λειτουργίας. Καθ' ὅλας δὲ τὰς μαρτυρίας τῶν πηγῶν, ἀντὶ χερουβικοῦ κατὰ τὰ ἐγκαίνια καὶ κατὰ τὴν κατ' ἔτος ἀνάμνησιν αὐτῶν ἐψάλλετο τὸ «Σιγησάτω πᾶσα σὰρξ βροτεία ...». Ἀλλὰ καὶ τοῦτο ἠμελήθη. Ἐπὶ πλέον, προσφάτως, διὰ πρακτικοὺς - τεχνικοὺς μᾶλλον λόγους, ἡ πρᾶξις τῶν ἐγκαινίων δέχεται ποιάν τινα ἀναπροσαρμογήν, ἡ ὁποία, ἐξ ὅσων τοὐλάχιστον γνωρίζω, τείνει νὰ ἐπικρατήσῃ. Ἡ τάξις προβλέπει, ὡς γνωστόν, ἐπικόλλησιν πλακὸς τῆς ἁγίας τραπέζης ἐπὶ τοῦ κίονος ἢ τῶν κιόνων ὑπὸ τοῦ Ἀρχιερέως κατὰ τὴν ὥραν τῶν ἐγκαινίων. Ἐπιχέεται ζέουσα κηρομαστίχη ἐπὶ τοῦ κίονος ἢ τῶν κιόνων, λεπτομερεῖς δὲ διατάξεις ὁρίζουν τὸν τρόπον προσδέσεως χάρτου ἐπ' αὐτῶν διὰ σχοινίων, ἵνα μὴ ἀπορρεύσῃ ἡ κηρομαστίχη, τὴν ἀπόξεσιν αὐτῆς καὶ τὰ ὅμοια. Σήμερον ἡ τάξις τείνει πρὸς ἁπλούστευσιν. Ἡ πλὰξ τῆς ἁγίας τραπέζης συνήθως εἶναι ἐκ τῶν προτέρων ἡδρασμένη ἐπὶ τοῦ κίονος ὑπὸ τῶν τεχνιτῶν, ἡ λειψανοθήκη μετὰ τῶν ἁγίων λειψάνων δὲν τοποθετεῖται, ὡς πρὶν εἰς προητοιμασμένην ὀπὴν κάτωθεν τῆς ἁγίας τραπέζης ἢ ἐντὸς τοῦ κίονος, ἀλλ' εἰς εἰδικὴν ὑποδοχὴν ἐντὸς καὶ περὶ τὸ μέσον τῆς πλακός, κατασφαλίζεται δὲ ἐπιχεομένης ἐπ' αὐτῆς ὀλίγης κηρομαστίχης.

Εἰς τὴν παροῦσαν ἔκδοσιν κατεβλήθη προσπάθεια ἵνα ἀποκατασταθῇ ἡ ὀρθὴ παλαιὰ πρᾶξις, διατηρηθέντων, κατ' ἀνάγκην, καὶ ὡρισμένων με-

ταγενεστέρων στοιχείων ὡς ἐπικρατησάντων, εἰ καὶ περιφερειακῶς καὶ ἀμαρτύρως. Αἱ εὐχαὶ πάντως τοῦ Πατριάρχου Καλλίστου ἐτέθησαν ὡς ἐν ἐπιμέτρῳ μετὰ τὴν ἀκολουθίαν, ὡς εὐχαὶ εὐλαβείας, μηδέποτε ἐνσωματωθεῖσαι εἰς τὴν τάξιν τῶν ἐγκαινίων, εἰ μὴ εἰς νεώτερα ἔντυπα, ὡς ἀναιτίως οὕτως ἐπιμηκύνουσαι τὴν ἤδη μακρὰν ἀκολουθίαν, καὶ ὡς ἐπαναλαμβάνουσαι, δι' ἄλλων ἢ καὶ διὰ τῶν αὐτῶν λόγων, ὅσα μεγαληγόρως γράφονται εἰς τὰς ἀρχαίας εὐχάς.

***

Τῆς ἀκολουθίας τῶν ἐγκαινίων προτάσσεται ἡ τάξις **«ἐπὶ θεμελιώσει ἐκκλησίας»**. Αὕτη ἔχει ἀποκατασταθῆ κατὰ τὰς διατάξεις τῶν χειρογράφων Εὐχολογίων καὶ κατὰ τὴν περιγραφὴν καὶ τὸν σχολιασμὸν τοῦ ἁγίου Συμεὼν Θεσσαλονίκης («Διάλογος», κεφ. ρα'). Βασικὴ διαφορὰ μεταξὺ τῆς σήμερον τεινούσης νὰ ἐπικρατήσῃ παρ' ἡμῖν τάξεως καὶ τῆς ἀνωτέρω εἶναι, ἀφ' ἑνὸς μὲν ἡ μὴ τέλεσις ἁγιασμοῦ κατ' αὐτήν, ὡς ἐσχάτως κατὰ μίμησιν τῆς ἐπὶ οἰκοδομῆς οἰκιῶν καὶ ἄλλων κοσμικῶν κτιρίων πρακτικῆς ἀντιπαραδοσιακῶς καὶ ἐξ ἀγνοίας γίνεται, καὶ ἀφ' ἑτέρου ἡ οἱονεὶ «ταφὴ» ἐν τοῖς θεμελίοις ἀνημμένης λυχνίας, πρᾶξις ὑπὸ τῶν πηγῶν, τοῦ ἁγίου Συμεὼν καὶ ἐξ αὐτῆς τῆς ἀρχαιολογικῆς ἐρεύνης ἐπιμαρτυρουμένη. Ταύτης ἕπεται καὶ ἡ τάξις καὶ ἡ εὐχὴ **«ἐπὶ Σταυροπηγίῳ»**.

***

Ἡ εἰς τὴν κατ' ἔτος **ἀνάμνησιν τῶν ἐγκαινίων** ἑκάστου θείου ναοῦ παναρχαία πρᾶξις ἔχει σήμερον σχεδὸν τελείως ἀμεληθῆ καὶ ἐκλείψει. Ἤδη κατὰ τὴν ἐποχὴν τοῦ ἁγίου Συμεὼν Θεσσαλονίκης διήρχετο ἰσχυρὰν κρίσιν, καὶ τοῦτο ἀπέδιδεν ὁ ἐραστὴς τῆς ἀρχαίας αὐτῆς καὶ σεβασμίας τάξεως ἅγιος πατὴρ εἰς τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Λατίνων (1204) καὶ κατάληψιν ὑπ' αὐτῶν τῶν μεγάλων ναῶν. Τότε ἔπαυσεν ἐκεῖ νὰ τελῆται καὶ **«ἐξ ἐκείνης τῆς Ἐκκλησίας ὡς ἐκ μητρὸς κἂν ταῖς ἄλλαις παρηκολούθησεν»** («Διάλογος», κεφ. ρκβ'). Ἐκεῖνος δὲ προσεπάθησεν ἐν τῇ κατ' αὐτὸν ἐπαρχίᾳ νὰ διατηρήσῃ καὶ ἐξωραΐσῃ αὐτήν, συνθέσας μάλιστα τρεῖς θεολογικωτάτας εὐχὰς διὰ νὰ λέγωνται, κατὰ τὴν τάξιν, πρὸ τῶν πυλῶν τῶν τριῶν μεγάλων ναῶν τῆς Θεσσαλονίκης, τοῦ ἁγίου Δημητρίου, τῆς Ἀχειροποι-

ήτου καὶ τῆς τοῦ Θεοῦ Σοφίας, ἀντὶ τῆς κοινῆς εὐχῆς **«Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ διὰ τῆς ἁγίας ...»**, τὴν ὁποίαν καὶ αὐτὴν συνεπλήρωσε καὶ διεσκεύασεν. Αὕτη παρατίθεται ἐνταῦθα κατὰ τὴν διασκευὴν τοῦ ἁγίου Συμεών, δημοσιεύονται δὲ καὶ αἱ ἕτεραι τρεῖς, ἱστορίας χάριν, ἀλλὰ καὶ διὰ τὴν ὑψηλὴν θεολογικήν των ποιότητα, διὰ κηρυγματικὴν καὶ ἄλλην ἀξιοποίησιν. Πολλαὶ ἀπὸ τὰς ἀναμνήσεις ἐγκαινίων μεγάλων ναῶν σημειοῦνται εἰς τὰ χειρόγραφα, ἀκόμη καὶ εἰς τὰ ἔντυπα, Μηνολόγια, ὡς τοῦ ἐν Ἱεροσολύμοις ναοῦ τῆς Ἀναστάσεως (ιγ΄ Σεπτεμβρίου), τῆς Ἁγίας Σοφίας ἐν Κωνσταντινουπόλει (κγ΄ Δεκεμβρίου), τῆς Ἁγίας Σοφίας ἐν Θεσσαλονίκῃ (κε΄ Ἰανουαρίου), τοῦ καθολικοῦ τῆς Μονῆς τοῦ Ἁγίου Σάββα (θ΄ Δεκεμβρίου), τῆς Παναγίας τῶν Χαλκοπρατείων (ιη΄ Δεκεμβρίου), τῆς Μονῆς τῆς Εὐεργέτιδος (κθ΄ Δεκεμβρίου) καὶ πολλῶν ἄλλων. Ἐξ ὅλων αὐτῶν εἰς τὰ ἔντυπα περιελήφθη μόνον ἡ ἀκολουθία τῶν ἐγκαινίων τοῦ ναοῦ τῆς Ἀναστάσεως, προφανῶς, λόγῳ τοῦ οἰκουμενικοῦ χαρακτῆρος τοῦ σεβασμίου τούτου προσκυνήματος, ἡ ὁποία ἀκολουθία ψάλλεται καὶ κατὰ τὰ ἐγκαίνια πάντων τῶν ναῶν, ὑπαλλασσομένων ἢ μὴ ὑπαλλασσομένων τῶν εἰδικῶς εἰς τὸν ἐν Ἱεροσολύμοις ναὸν ῥητῶς ἀναφερομένων. Αὕτη παρατίθεται πρώτη ἐν τῷ **«Παραρτήματι»**, ὁ κανὼν δ᾽ αὐτῆς ἐνσωματοῦται εἰς τὴν ἀκολουθίαν τῶν ἐγκαινίων, ὡς ψαλλόμενος κατὰ τὴν ἐκ τοῦ παλαιοῦ πρὸς τὸν νέον ναὸν πορείαν καὶ τὴν περὶ αὐτὸν τριπλῆν περιφοράν. Τύπον δὲ τελέσεως τῆς ἀναμνήσεως τῶν ἐγκαινίων ἔχομεν, κατὰ μὲν τὸ ᾀσματικὸν - ἐνοριακὸν τυπικὸν εἰς τὴν ἀκολουθίαν τῆς κβ΄ καὶ κγ΄ Δεκεμβρίου, ὡς αὕτη περιγράφεται εἰς τὸ ἀρχαῖον Τυπικὸν τοῦ Θ΄ - Ι΄ αἰῶνος τῆς Ἁγίας Σοφίας Κωνσταντινουπόλεως (κώδικες τ. Σταυροῦ 40 καὶ Πάτμου 266), κατὰ δὲ τὸ μοναχικὸν τυπικὸν εἰς τὴν καταγραφὴν τῆς σχετικῆς τάξεως κατὰ τὴν ἀνάμνησιν τῶν ἐγκαινίων τῆς Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου τῆς Εὐεργέτιδος τῇ κθ΄ Δεκεμβρίου κατὰ τὸν κώδικα Ἐθνικῆς Βιβλιοθήκης Ἑλλάδος 788 τοῦ ΙΒ΄ αἰῶνος. Ἡ ἀνάμνησις δὲ τῶν ἐγκαινίων ἑκάστου ναοῦ ἤγετο κατ᾽ ἔτος λαμπρῶς εἰς τὸν ἑορτάζοντα ταῦτα ναόν, γινομένης κατὰ μίμησιν τῶν ἐγκαινίων λιτανείας, μετ᾽ εὐχῆς πρὸ τῶν πυλῶν αὐτοῦ καὶ τοῦ «Ἄρατε πύλας», κατέστεφε δὲ τὸν πανηγυρισμὸν θεία λειτουργία, ἀρχομένη ἀπὸ τοῦ τρισαγίου, περιλαμβάνουσα τὰ ἀναγνώσματα τῶν ἐγκαινίων καὶ τὸ κοινωνικὸν αὐτῶν, ἀπαραιτήτως δὲ καὶ τὸ **«Σιγησάτω πᾶσα σὰρξ βροτεία»** ἀντὶ χερουβικοῦ, ὡς κατὰ τὰ ἐγκαίνια. Πλεῖσται μεγάλαι ἑορταὶ ἢ καὶ μνῆμαι ἑορταζομένων ἁγίων ἔχουν τὴν προφανῆ ἀρχὴν αὐτῶν εἰς τὴν ἀνάμνησιν

ἐγκαινίων διασήμων ναῶν αὐτῶν, ὡς τοῦ τιμίου Προδρόμου (κθ΄ Αὐγούστου), ἡ δευτέρα ἑορτὴ τοῦ ἁγίου Γεωργίου (γ΄ Νοεμβρίου), τῶν Εἰσοδίων (κα΄ Νοεμβρίου), τῆς θείας Μεταμορφώσεως (ς΄ Αὐγούστου) καὶ ἄλλαι.

***

Ἡ **«καθιέρωσις ἀντιμινσίων»** ἐκτὸς ἐγκαινίων, γίνεται κατὰ μίμησιν τῆς ἀκολουθίας τῶν ἐγκαινίων, συστελλομένης βεβαίως εἰς μόνην τὴν καθιέρωσιν τοῦ θυσιαστηρίου, φορητοῦ εἰς τὴν περίπτωσιν τῶν ἀντιμινσίων. Κατὰ τὴν ὀρθὴν δὲ καὶ ἀπαραίτητον τάξιν τελεῖται ἐντὸς τῆς θείας λειτουργίας, ὡς καὶ ἐν τῇ ἐκτιθεμένῃ τάξει προβλέπεται. Διὰ τὴν τέλεσιν δὲ ἐπὶ ἀντιμινσίου τῆς θείας λειτουργίας εἰς μὴ καθαγιασθέντας δι᾽ ἐγκαινίων ναοὺς καὶ ἐκτὸς αὐτῶν, ἐν στρατοπέδοις καὶ εὐκτηρίοις, προβλέπεται ἀπαραιτήτως ἡ προσραφὴ ἐντὸς λινῆς θήκης ἁγίων λειψάνων. Οὕτω νοεῖται καὶ ἡ δι᾽ αὐτῶν ἀναπλήρωσις τοῦ ἱεροῦ θυσιαστηρίου.

***

Ἡ **«ἐπὶ σαλευθείσης ἁγίας τραπέζης»** τάξις ἀφορᾷ, ὡς ἐκ τῶν τυπικῶν διατάξεων καταφαίνεται, καὶ ὡς ἐκ τῶν εὐχῶν συνάγεται, μόνον εἰς περιπτώσεις καθ᾽ ἃς ἡ ἁγία τράπεζα ἀπεκολλήθη, παρέμεινε δὲ ὡς εἶχε τὸ ἐγκαίνιον αὐτῆς. Ἄλλως φαίνεται ὅτι ἐτελοῦντο ἐξ ὑπαρχῆς τὰ ἐγκαίνια.

***

Δύο παλαιαὶ ἀκολουθίαι, μᾶλλον σήμερον ἀργοῦσαι, ἡ **«ἐπὶ τῇ ἐκπλύσει τῆς ἁγίας τραπέζης»** κατὰ τὴν Μεγάλην Πέμπτην καὶ ἡ τάξις ἐπὶ ἁγίας τραπέζης, **«ἧς τὰ ἄμφια διεφθάρησαν»** ἐκδίδονται ὡς ἔχουν ἐν τοῖς παλαιοῖς Εὐχολογίοις, ἔστω καὶ μόνον ὡς δείγματα τῆς πατρῴας πρὸς τὸ ἱερὸν θυσιαστήριον εὐλαβείας, ἢ καὶ πρὸς χρῆσιν ὅπου δὲν διεφθάρη ἀκόμη ἡ σχετικὴ εὐσεβὴς πρακτική.

***

Ἐπὶ τῇ καθ᾽ οἱονδήποτε τρόπον **«βεβηλώσει ναοῦ»** τηρεῖται, καὶ ἐν Ἁγίῳ Ὄρει, συνοπτική τις τελεσιουργία, τοῦ ῥαντισμοῦ τοῦ χώρου δι᾽ ὕδατος ἐπὶ τούτῳ ἁγιαζομένου πρὸ τῶν πυλῶν τοῦ βεβηλωθέντος ναοῦ, συναπτομένης καὶ σχετικῆς κατὰ τὴν περίπτωσιν εὐχῆς. Ἐπὶ τῆς αὐτῆς

παραδόσεως οὐσιαστικῶς στηρίζεται καὶ ὁ τρόπος ἀποκαταστάσεως τῆς πολυπαθοῦς κατὰ τοὺς νεωτάτους χρόνους τάξεως τῆς ἀκολουθίας τῶν λεγομένων «**θυρανοιξίων**» τοῦ νέου ναοῦ. Ἡ παράδοσις φαίνεται ὅτι ταυτίζει θυρανοίξια καὶ ἐγκαίνια, νεώτεραι ὅμως ἀνάγκαι καὶ τάσεις προεκάλεσαν τὴν ἐξεύρεσιν ἐνδιαμέσου τινὸς τάξεως, τὰ οὕτως ἀποκληθέντα «**θυρανοίξια**». Κατ' ἀναλογίαν πρὸς τὴν τάξιν τῆς τελέσεως πρὸ τῶν πυλῶν τοῦ βεβηλωθέντος ναοῦ μικροῦ ἁγιασμοῦ καὶ τοῦ ῥαντισμοῦ τοῦ χώρου, μὲ τὴν προσθήκην μιᾶς ἀρχαίας ἐκ τῶν ἐγκαινίων εὐχῆς ὀλίγον τροποποιημένης, τοῦ «**Ἄρατε πύλας**» ἐκ δανείου, καί τινων τροπαρίων ἐκ τῆς ἀκολουθίας τῶν ἐγκαινίων, δύναται νὰ θεραπευθῇ σεμνῶς καὶ εὐπρεπῶς καὶ ἐκ παραδοσιακῶν στοιχείων ἡ νέα ἀνάγκη. Διὰ παρομοίων συντόμων ἀκολουθιῶν παρεδόθησαν ἢ ἐπανῆλθον εἰς τὴν χριστιανικὴν λατρείαν χῶροι χρησιμοποιηθέντες παλαιότερον εἰς ἄλλας λατρείας ἢ καὶ ποικιλοτρόπως βεβηλωθέντες. Βεβαίως ἐν συνεχείᾳ ἐτελέσθη ἐκεῖ καὶ εἰς τὸ ἑξῆς τελεῖται ἡ κατ' ἐξοχὴν καθαγιαστικὴ τῶν πάντων ἱερὰ τελετὴ τῆς θείας εὐχαριστίας, ἐπὶ ἱεροῦ ὅμως ἀντιμινσίου.

Τῷ δὲ Θεῷ ἡμῶν ἡ «**αἴνεσις ἐν Ἐκκλησίᾳ ὁσίων**» (Ψαλμὸς ρμθ' 1).

Ἅγιον Πάσχα 2003

Ἰωάννης Μ. Φουντούλης
Ὁμότιμος Καθηγητὴς Λειτουργικῆς Α.Π.Θ.

«Ἀναγκαῖον οὖν εἰπεῖν καὶ περὶ τῆς τοῦ ναοῦ καθιερώσεως. Ἐν αὐτῷ γὰρ τῷ ναῷ τὸ θυσιαστήριον πήγνυται. Καὶ διὰ τοῦ θυσιαστηρίου ἅγιος ὁ ναός ἐστι· χωρὶς δὲ θυσιαστηρίου οὐ ναός, ἀλλὰ προσευχῆς μόνον οἶκος, μετέχων τῆς ἀπὸ τῶν εὐχῶν μόνης ἁγιωσύνης· οὐ Θεοῦ δόξης σκήνωμα, οὐδὲ κατοικητήριον τούτου, οὐδὲ ἰσχὺν πλουτῶν θείαν τὰς ἐν αὐτῷ προσευχὰς πρὸς Θεὸν ἀναφέρειν διὰ τῆς ἐν αὐτῷ χάριτος· οὐδὲ προσφέρεσθαι ἐν τῇ ἐν αὐτῷ τραπέζῃ τὰ θεῖα δῶρα καὶ διὰ τῶν ἱερατικῶν εὐχῶν, τῆς τοῦ σταυροῦ τε σφραγῖδος, εἰς σῶμα καὶ αἷμα Χριστοῦ ἁγίῳ Πνεύματι μεταβάλλεσθαι. Καὶ οὐδὲ τράπεζά ἐστιν ἐν αὐτῷ. Διὸ ἵνα γένηται ταῦτα καὶ δύναμιν ἔχῃ καὶ ναὸς ὑπάρχῃ Θεοῦ καὶ τοῦτο οὕτως οἰκοδομεῖται καὶ ἁγιάζεται».

(Ἅγιος Συμεὼν Θεσσαλονίκης, Διάλογος, κεφ. ρ΄)

«Ἐκκλησία ἐστὶ ναὸς Θεοῦ, τέμενος ἅγιον, οἶκος προσευχῆς, συνάθροισις λαοῦ, σῶμα Χριστοῦ, ὄνομα αὐτοῦ, νύμφη Χριστοῦ, ἐκκαλουμένη πρὸς μετάνοιαν καὶ πρὸς εὐχὴν τοὺς λαούς ... Ἐκκλησία ἐστὶν ἐπίγειος οὐρανός, ἐν ᾗ ὁ ἐπουράνιος Θεὸς ἐνοικεῖ καὶ ἐμπεριπατεῖ, ἀντιτυποῦσα τὴν σταύρωσιν καὶ τὴν ταφὴν καὶ τὴν ἀνάστασιν Χριστοῦ, δεδοξασμένη ὑπὲρ τὴν σκηνὴν τοῦ μαρτυρίου τοῦ Μωϋσέως, ἐν πατριάρχαις προτυπωθεῖσα, ἐν ἀποστόλοις θεμελιωθεῖσα, ἐν ᾗ τὸ ἱλαστήριον καὶ τὰ Ἅγια τῶν ἁγίων, ἐν προφήταις προκηρυχθεῖσα, ἐν ἱεράρχαις κατακοσμηθεῖσα καὶ ἐν μάρτυσι τελειωθεῖσα καὶ ἐν τοῖς ἁγίοις λειψάνοις ἐνθρονισθεῖσα».

(Ἅγιος Γερμανὸς Κωνσταντινουπόλεως, Ἱστορία ἐκκλησιαστικὴ καὶ μυστικὴ θεωρία, κεφ. α΄)

«Ὁ ναὸς τοίνυν, εἰ καὶ ἐξ ὑλῶν συγκείμενός ἐστιν, ἀλλ᾽ οὖν ὑπερκόσμιον ἔχει χάριν· τελεῖται γὰρ παρ᾽ ἀρχιερέως εὐχαῖς μυστικαῖς καὶ θείῳ χρίεται μύρῳ· καὶ κατοικητήριον ὅλος Θεοῦ καθίσταται καὶ οὐ πάντα τοῖς πᾶσιν ἔχει βατά, ἀλλὰ τὰ μὲν ἱερεῦσι, τὰ δὲ λαϊκοῖς».

(Ἅγιος Συμεὼν Θεσσαλονίκης, Διάλογος, κεφ. ρα΄)



ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ
ΕΠΙ
ΘΕΜΕΛΙῼ ΕΚΚΛΗΣΙΑΣ

Εὐτρεπισθέντων τῶν θεμελίων τοῦ μέλλοντος ἀνεγείρεσθαι ναοῦ, παραγίνεται ἐκεῖσε ὁ Ἀρχιερεὺς καὶ βάλλει ἐπιτραχήλιον καὶ τὸ ὠμοφόριον αὐτοῦ.

Μεθ' ὃ ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα.

Ὁ Ἀρχιερεὺς ἐκφωνεῖ τό·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Μεθ' ὃ ἄρχεται ὁ Ἀναγνώστης τὸ Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, *ὡς κάτωθι·*

Ἅγιος ὁ Θεός,* ἅγιος ἰσχυρός,* ἅγιος ἀθάνατος,* ἐλέησον ἡμᾶς (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς,* ἐλέησον ἡμᾶς·* Κύριε,* ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν·* Δέσποτα,* συγχώρησον τὰς ἀνομίας ἡμῖν·* Ἅγιε,* ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,* ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι·* καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,* ἁγιασθήτω τὸ ὄνομά σου·* ἐλθέτω ἡ βασιλεία σου·* γενηθήτω τὸ θέλημά σου,* ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.* Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον* δὸς ἡμῖν σήμερον* καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,* ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν·* καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,* ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἀρχιερεύς·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Εὐλογήσας δὲ ὁ Ἀρχιερεὺς τὸ θυμίαμα καὶ θυμιατήριον λαβών, θυμιᾷ τοὺς θεμελίους καὶ τὰ ὀρύγματα σταυροειδῶς καὶ πάσας τὰς ἐκεῖσε ὕλας καὶ τὰς τέσσαρας γωνίας τοῦ κτίσματος· εἶτα καὶ τοὺς παρατυχόντας θυμιάσας, ἔρχεται ἐπὶ τοῖς ἀνατολικοῖς θεμελίοις, ἔνθαπερ τὸ θυσιαστήριον πήγνυσθαι μέλλει, καὶ ἵσταται κατὰ μέσον τῶν τῆς ἀνατολῆς ὀρυγμάτων, ἔνθα τὸ τοῦ βήματος ἡμικύκλιον.

Ἐν τῷ θυμιᾶν τὸν Ἀρχιερέα ὁ χορὸς ψάλλει τὸ ἀπολυτίκιον τοῦ ἁγίου, εἰς οὗ τὸ ὄνομα ὁ ναὸς μέλλει ἀνεγείρεσθαι, ἐκ δὲ τῶν λοιπῶν τροπαρίων ὅσα βούλεται ὁ Προεστώς.

Ἰδιόμελον. Ἦχος γ'

Ὁ ἐν τῇ πέτρᾳ τῆς πίστεως* οἰκοδομήσας τὴν Ἐκκλησίαν σου,* Χριστὲ ὁ Θεός,* ἐν αὐτῇ κατεύθυνον τὰς ἱκεσίας ἡμῶν* καὶ πρόσδεξαι λαὸν ἐν πίστει βοῶντά σοι·* Σῶσον ἡμᾶς, ὁ Θεὸς ἡμῶν.

Ἕτερον. Ἦχος πλ. α'

Ὁ ἐπὶ τῶν κόλπων τῶν πατρικῶν* ἐπαναπαυόμενος, Λόγε,* τὸ Πνεῦμά σου τὸ ἅγιον* κατάπεμψον ἐν τῷ ναῷ* τῷ εἰς τὸ ὄνομά σου* ἀνεγειρομένῳ.

Ἕτερον. Ἦχος πλ. β'

Ἔθου πύργον ἰσχύος* τὴν Ἐκκλησίαν σου, Χριστέ,* προαιώνιε Λόγε·* ἐθεμελίωσας γὰρ αὐτὴν* ἐπὶ πέτραν τῆς πίστεως,* διὸ ἀσάλευτος διαμένει εἰς τὸν αἰῶνα,* ἔχουσα σὲ τὸν δι' αὐτὴν ἐπ' ἐσχάτων* ἀτρέπτως γενόμενον ἄνθρωπον.* Εὐχαριστοῦντες οὖν,* ἀνυμνοῦμέν σε λέγοντες·* Σὺ εἶ ὁ πρὸ τῶν αἰώνων* καὶ ἐπ' αἰῶνα καὶ ἔτι* βασιλεὺς ἡμῶν. Δόξα σοι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Τὸ ἀπολυτίκιον τοῦ ἁγίου τοῦ νέου ναοῦ.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἦχος δ'

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν* καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα* τοῦ ἁγίου σκηνώματος τῆς δόξης σου, Κύριε·* κραταίωσον αὐτὸ εἰς αἰῶνα αἰῶνος* καὶ πρόσδεξαι ἡμῶν τὰς ἐν αὐτῷ ἀπαύστως* προσαγομένας σοι δεήσεις,* πρεσβείαις τῆς Θεοτόκου,* ἡ πάντων ζωὴ καὶ ἀνάστασις.

Εἶτα ὁ Διάκονος λέγει τὰ εἰρηνικά, τοῦ χοροῦ ἀποκρινομένου ἐν ἑκάστῳ τούτων τό· Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), ἱερωσύνης, διακονίας, εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτοῦ καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν συμπαρόντων αὐτῷ ἱερέων, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸν θεμέλιον τοῦ ἁγίου οἴκου τούτου τῇ ἐπιφοιτήσει καὶ δυνάμει καὶ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τοῦ ἁγίου (τοῦ νέου ναοῦ) μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ Ἀρχιερεὺς ἐπεύχεται οὕτως·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ σὸν ἅγιον αἷμα ὑποβαλόμενος θεμέλιον τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ, δεόμεθά σου καὶ νῦν διὰ τῆς τεταπεινωμένης ἡμῶν δεήσεως ὑποβάλλειν τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος τοῖς θεμελίοις τοῦ μέλλοντος ἀνοικοδομεῖσθαί σοι ἐν τούτῳ τῷ τόπῳ ναοῦ καὶ ἀπαρτίσαι καὶ τελειῶσαι καὶ σκήνωμα τοῦτον δεῖξαι τῆς δόξης σου· ὅπως οἱ ἐν αὐτῷ ψαλμοῖς καὶ ᾠδαῖς τὴν σὴν δοξολογοῦντες μεγαλωσύνην, ἀντιλαμβάνωσι τῆς παρὰ σοῦ χορηγίας τῶν ἀγαθῶν, τοῦ τὸν οὐρανὸν καὶ τὴν γῆν πληροῦντος. Ἄμειψαι δὲ καὶ τοὺς τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσκομίζοντας ἔν τε τῇ οἰκοδομῇ αὐτοῦ καὶ τῇ λοιπῇ λατρείᾳ τῆς δόξης σου καὶ τοὺς ἐν αὐτῷ ὑπηρετοῦντας, τῇ ἐκπληρώσει τῶν κατὰ ψυχὴν καὶ σῶμα συμφερόντων αὐτῶν καὶ ἐν τῷ παρόντι ἀβλαβεῖς διατήρησον καὶ ἐν τῷ μέλλοντι τῆς σῆς καταξίωσον ἀπολαύσεως, ἵνα δοξάζηταί σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Εἶθ᾽ οὕτως λαμβάνει ὁ Ἀρχιερεὺς ταῖς χερσὶ λίθους καὶ ἄσβεστον ἢ πηλὸν ὀργάνῳ τινί· καὶ κατελθὼν ἐν τοῖς θεμελί-

οις τίθησι τοὺς λίθους σταυροειδῶς, σφραγίσας αὐτούς. Κατὰ δὲ τὸ μέσον τῶν λίθων ἐν σμικρῷ τινι λάκκῳ, οἷον ἐν τάφῳ, κανδήλαν λαβὼν καὶ ἐμβαλὼν ἔλαιον καὶ ἀνάψας, εὐλογεῖ καὶ τίθησιν, οἰκονομῶν τὴν φωταγωγὸν ἐκείνην ἀσφαλῶς μένειν.

Εἶτα λαβὼν ἕνα τῶν λίθων καὶ σταυρὸν ἐπ᾽ αὐτοῦ χαράξας, αὐτὸς ταῖς ἰδίαις χερσὶ τίθησιν αὐτὸν ἐπάνω τῆς λυχνίας ἐν τῷ θεμελίῳ λέγων·

Ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.
Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς
καὶ οὐ σαλευθήσεται.
Βοηθήσει αὐτῇ ὁ Θεὸς
τὸ πρὸς πρωῒ πρωΐ.

Ἐξελθὼν δὲ τῶν θεμελίων ὁ Ἀρχιερεὺς λέγει·

Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ Ἀρχιερεὺς ἐπεύχεται τὴν εὐχὴν τῆς κεφαλοκλισίας·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐρασθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομηθῆναί σοι ἐκκλησίαν, αὐτὸς τοὺς τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσκομίζοντας ἔπιδε καὶ τοῦ πρὸς τὴν σὴν δοξολογίαν κτιζομένου οἴκου ἐν πλήθει τῶν σῶν ἐπουρανίων ἀγαθῶν ἀντάμειψαι καὶ τοὺς ὑπουργοῦντας ἐν αὐτῷ ἐνίσχυσον ἀβλαβεῖς

διαφυλάττων· τὰ θεμέλια αὐτοῦ ἀρραγῆ καὶ ἀσάλευτα διατήρησον καὶ τέλειον ἀνάδειξον οἶκόν σου, ὡς ἂν καὶ ἐν αὐτῷ πανευφήμοις ᾠδαῖς καὶ δοξολογίαις ἀνυμνῶμέν σε τὸν ἀληθινὸν Θεὸν ἡμῶν.

Καὶ ἐκφωνεῖ·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Εἶτα ποιεῖ τὴν ἀπόλυσιν ὁ Ἀρχιερεύς, οὕτως·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης·

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Κύριε, ἐλέησον (γ΄). Δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ Ἀρχιερεύς·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου ἐνδόξου,

προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ ἁγίου τοῦ νέου ναοῦ) καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὁ χορός· Ἀμήν.

Καὶ πολυχρονοῦσι τὸν Ἀρχιερέα.
Καὶ οὕτως οἱ τεχνῖται τῆς οἰκοδομῆς ἄρχονται.

ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ
ΕΠΙ
ΣΤΑΥΡΟΠΗΓΙῼ

Ἀναφέρεται τῷ Πατριάρχῃ περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ καὶ γίνεται γράμμα προτρεπτικὸν πρὸς τὸν Ἔξαρχον αὐτοῦ ἢ πρός τινα τῶν Ἀρχιερέων ἐπὶ τῷ θεμελιωθῆναι καὶ καθιερωθῆναι καὶ τὸν ναὸν τελεσθῆναι ἐπὶ Σταυροπηγίῳ πατριαρχικῷ. Κελεύει δὲ γίνεσθαι Σταυρὸν ξύλινον, ἐν ᾧ γράφουσιν οἱ πατριαρχικοὶ γραμματικοί·

Ἐν ἑνὶ μέρει οὕτως·

Σταυροπήγιον πατριαρχικόν, ἁγιασθὲν ἐπ᾽ ὀνόματι τοῦ Ἁγίου (τοῦδε), ἐν τῇ θεοσώστῳ πόλει (τῇδε), ἐν τῇ ἐπαρχίᾳ (τῇδε), ἐν τῷ ἰδίῳ θελήματι παρὰ (τοῦδε) τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ Πατριάρχου.

Ἐν δὲ τῷ ἑτέρῳ μέρει·

Ἐπὶ τῆς βασιλείας τῶν εὐσεβεστάτων βασιλέων ἡμῶν (τῶνδε), κατὰ μῆνα (τόνδε), ἐν ἔτει (τῷδε).

Πέμπεται δὲ ὁ Σταυρὸς ἐν ᾧ ὁ ναὸς μέλλει οἰκοδομηθῆναι καὶ ὁ προσδεξάμενος ποιεῖ τὴν ἄνωθεν ἀκολουθίαν ἐπὶ τῷ θεμελίῳ. Πρὸ δὲ τῆς ἀπολύσεως, λαβὼν τὸν Σταυρὸν πήγνυσιν αὐτὸν ἐν τῷ μέσῳ τῆς κόγχης.

Καὶ λέγει ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ δὲ Ἀρχιερεὺς ἐπάγει τὴν

εὐχὴν
ἐπὶ Σταυροπηγίῳ

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ προτυπώσας τὴν ῥάβδον τοῦ Μωϋσέως εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν τοῦ ἀγαπητοῦ σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, αὐτὸς εὐλόγησον καὶ ἁγίασον τὸν τόπον τοῦτον τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ τιμίου καὶ ζωοποιοῦ καὶ ἀχράντου ξύλου τοῦ Σταυροῦ, εἰς ἀποτροπὴν δαιμόνων καὶ παντὸς ἐναντίου, φυλάττων καὶ τὸν τόπον καὶ τὸν οἶκον τοῦτον καὶ τὰς ἐνοικούσας ψυχὰς τῶν ἐνταῦθα κατοικούντων, πρεσβείαις τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ὅτι ηὐλόγηται καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ χορός· Ἀμήν.

Καὶ ποιεῖ ὁ Ἀρχιερεὺς τὴν ἀπόλυσιν.

ΤΑΞΙΣ
ΕΙΣ
ΕΓΚΑΙΝΙΑ ΝΑΟΥ

Καταμερισμὸς τῶν ἁγίων λειψάνων

Πρὸ μιᾶς ἡμέρας τῶν ἐγκαινίων ἔρχεται εἰς τὸν μέλλοντα ἐγκαινιασθῆναι ναὸν ὁ Ἱερομνήμων ἢ ἕτερός τις ἐκκλησιαστικὴν πεπιστευμένος διακονίαν. Καὶ θεωρεῖ εἰ πάντα ἕτοιμά εἰσι καὶ τὰ διὰ τὸν ἐγκαινισμὸν χρειώδη. Ἐξάγεται δὲ τοῦ ναοῦ πᾶν κινούμενον καὶ αἱ εἰκόνες καὶ τὰ ἱερὰ σκεύη καὶ λοιπὰ χώραν ἔχοντα μετατίθεσθαι, ἵνα τὰ ἑστῶτα καὶ μένοντα εἶναι ἐν αὐτῷ καθαγιασθῇ. Ἐξέρχονται δὲ πάντες τοῦ ναοῦ καὶ κατακλείονται αὐτοῦ αἱ θύραι.

Πρὸς ἑσπέραν δὲ παραγίνεται ὁ Ἀρχιερεὺς ἔν τινι προσεγγίζοντι σεπτῷ ναῷ καὶ περιβληθεὶς ἐπιτραχήλιον καὶ τὸ ὠμοφόριον αὐτοῦ καὶ στὰς ἐνώπιον τῆς ἁγίας τραπέζης, λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης· Ἀμήν.

Ἅγιος ὁ Θεός,* ἅγιος ἰσχυρός,* ἅγιος ἀθάνατος,* ἐλέησον ἡμᾶς (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς,* ἐλέησον ἡμᾶς·* Κύριε,* ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν·* Δέσποτα,* συγχώρησον τὰς ἀνομίας ἡμῖν·* Ἅγιε,* ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,* ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι·* καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,* ἁγιασθήτω τὸ ὄνομά σου·* ἐλθέτω ἡ βασιλεία σου·* γενηθήτω τὸ θέλημά σου,* ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.* Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον* δὸς ἡμῖν σήμερον* καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,* ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν·* καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,* ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἀρχιερεύς·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλονται τὰ ἀκόλουθα μαρτυρικὰ τροπάρια·

Ἦχος δ´

Οἱ μάρτυρές σου, Κύριε,* ἐν τῇ ἀθλήσει αὐτῶν* στεφάνους ἐκομίσαντο* τῆς ἀφθαρσίας* ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν·* σχόντες γὰρ τὴν ἰσχύν σου,* τοὺς τυράννους καθεῖλον,* ἔθραυσαν καὶ δαιμόνων* τὰ ἀνίσχυρα θράση·* αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός,* σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος β´

Ἀθλοφόροι Κυρίου,* μακαρία ἡ γῆ* ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν* καὶ ἅγιαι αἱ σκηναὶ* αἱ δεξάμεναι τὰ σώματα ὑμῶν·* ἐν σταδίῳ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε* καὶ Χριστὸν μετὰ παρρησίας ἐκηρύξατε·* αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος α´. Τὸν τάφον σου, Σωτὴρ

Τοὺς μάρτυρας Χριστοῦ* ἱκετεύσωμεν πάντες·* αὐτοὶ γὰρ τὴν ἡμῶν* σωτηρίαν αἰτοῦνται·* καὶ πάντες προσέλθωμεν* πρὸς αὐτοὺς μετὰ πίστεως·* οὗτοι βρύουσι* τῶν ἰαμάτων τὴν χάριν·* οὗτοι φάλαγγας* ἀποσοβοῦσι δαιμόνων,* ὡς φύλακες τῆς πίστεως.

Εὐθὺς δὲ λέγομεν τὸ ἀπολυτίκιον τοῦ ἁγίου τοῦ μέλλοντος ἐγκαινίζεσθαι ναοῦ.

Εἶτα κοντάκιον. Ἦχος πλ. β´

Ὡς ἀπαρχὰς τῆς φύσεως* τῷ φυτουργῷ τῆς κτίσεως* ἡ οἰκουμένη προσφέρει σοι, Κύριε,* τοὺς θεοφόρους μάρτυρας·* ταῖς αὐτῶν ἱκεσίαις* ἐν εἰρήνῃ βαθείᾳ τὴν Ἐκκλησίαν σου* διὰ τῆς Θεοτόκου* συντήρησον, πολυέλεε.

Δόξα. *Ἦχος πλ. β'*

Μαρτύρων θεῖος χορός,* τῆς Ἐκκλησίας ἡ βάσις,* τοῦ εὐαγγελίου ἡ τελείωσις,* ὑμεῖς ἔργῳ τοῦ Σωτῆρος τὰ ῥητὰ ἐπληρώσατε·* ἐν ὑμῖν γὰρ αἱ πύλαι τοῦ ᾅδου,* κατὰ τῆς Ἐκκλησίας ἀνεῳχθεῖσαι ἐκλείσθησαν·* ἡ τοῦ αἵματος ὑμῶν χύσις* τὰς εἰδωλικὰς σπονδὰς ἐξήρανεν·* ἡ σφαγὴ ὑμῶν ἀπέτεκε* τῶν πιστῶν τὸ πλήρωμα·* τοὺς χοροὺς τῶν ἀσωμάτων ἐξεπλήξατε·* τῷ Θεῷ στεφανηφόροι παρίστασθε·* πρὸς ὃν ἀπαύστως πρεσβεύσατε* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. *Θεοτοκίον*

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή,* ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς·* σὲ ἱκετεύομεν,* πρέσβευε, Δέσποινα,* μετὰ τῶν ἀθλοφόρων* καὶ πάντων τῶν ἁγίων* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῶν τροπαρίων τούτων ψαλλομένων ὁ Ἀρχιερεὺς ἀποτίθησι τρεῖς μερίδας μαρτυρικῶν ἁγίων λειψάνων ἐπὶ τὸ ἱερὸν δισκάριον, ἐπιτίθησι τὸν ἀστερίσκον, καλύπτει δι᾿ ἱεροῦ καλύμματος καὶ θυμιᾷ.

Εἶτα ποιεῖ ἀπόλυσιν, ἐν ᾗ μνημονεύει τοῦ ἁγίου τοῦ μέλλοντος ἐγκαινίζεσθαι ναοῦ καὶ τῶν ἁγίων ὧν τὰ λείψανα κατεμερίσθησαν.

Καὶ πολυχρονεῖται, ὡς ἔθος, ὁ Ἀρχιερεύς.

*Εἶθ᾿ οὕτως ψάλλεται ἐν τῷ ναῷ τούτῳ τὸ λυχνικόν, παννυχὶς καὶ ὁ ὄρθρος, ἐν οἷς συμψάλλονται τὰ τῆς ἡμέρας μετὰ τῆς ἀκολουθίας τῶν ἐγκαινίων τοῦ ναοῦ τῆς Ἀναστάσεως, ὡς ἐν τῇ ΙΓ' τοῦ Σεπτεμβρίου μηνὸς κατακεχώρισται καὶ ἐν τῷ παραρτήματι διατέτακται (βλ. σελ. **115-127**).*

Τάξις τῶν ἐγκαινίων

Πρωΐας δὲ γενομένης κατέρχεται ὁ Ἀρχιερεὺς ἐν τῷ ῥηθέντι παλαιῷ ναῷ, ὅπου τὰ ἅγια λείψανα κατεμερίσθησαν, λαμβάνει καιρὸν καὶ ἐνδύεται ἅπασαν τὴν ἀρχιερατικὴν αὐτοῦ στολήν, ψαλλομένου συνήθως τοῦ Ἄνωθεν οἱ προφῆται ... *Ἐνδύονται δὲ καὶ πάντες οἱ ἱερεῖς καὶ διάκονοι καὶ λοιποὶ κληρικοὶ τὰς ἰδίας αὐτῶν στολάς.*

Εἶτα λέγει ὁ Ἀρχιερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης· Ἀμήν.

Καὶ ἐπισυνάπτει χύμα τὸν

Ψαλμὸν ρμβ' (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Εἶτα λέγει ὁ Διάκονος τὴν μικρὰν συναπτήν·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον ...

Τῆς Παναγίας, ἀχράντου ...

Καὶ ὁ Ἀρχιερεὺς ἐκφωνεῖ·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Καὶ ὁ Ἀρχιερεὺς ἐπεύχεται μετὰ φόβου·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν τοῖς λόγοις σου καὶ ἀψευδὴς ἐν ταῖς ἐπαγγελίαις σου· ὁ χαρισάμενος τοῖς ἁγίοις σου μάρτυσι τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι καὶ τὸν δρόμον τῆς εὐσεβείας τελέσαι καὶ τὴν πίστιν τῆς ἀληθοῦς ὁμολογίας φυλάξαι· αὐτός, Δέσποτα πανάγιε, ταῖς αὐτῶν ἱκεσίαις παρακλήθητι, καὶ χάρισαι ἡμῖν τοῖς ἀναξίοις σου δούλοις μέρος καὶ κλῆρον ἔχειν μετ᾽ αὐτῶν· ἵνα, μιμηταὶ αὐτῶν γινόμενοι, καταξιωθῶμεν τῶν ἀποκειμένων αὐτοῖς ἀγαθῶν.

Ἐκφώνως·

Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ Ἀρχιερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας·

Κύριε ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου, τὰ ἔργα τῶν χειρῶν ἡμῶν τῶν ἀναξίων δούλων σου κατεύθυνον καὶ ἐν πᾶσιν εὐαρεστεῖν ἡμᾶς τῇ σῇ ἀγαθότητι καταξίωσον.

Ἐκφώνως·

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ μετὰ τὸ Ἀμὴν *αἴρει ὁ Ἀρχιερεὺς ἐπὶ τῆς κεφαλῆς αὐτοῦ τὸν ἅγιον δίσκον μετὰ τῶν ἁγίων λειψάνων καὶ προπορευομένου τοῦ ἱεροῦ κλήρου μετὰ τοῦ τιμίου Σταυροῦ καὶ τοῦ ἱεροῦ Εὐαγγελίου καὶ ἑπομένου παντὸς τοῦ λαοῦ, ἀπέρχονται εἰς τὸν νέον ναὸν μετὰ προπομπῆς καὶ θυμιαμάτων καὶ φώτων. Σημαίνουσι δὲ πάντα τὰ σήμαντρα καὶ οἱ κώδωνες τοῦ ναοῦ ἀρχομένης λιτῆς.*

Ἐν τῷ πορεύεσθαι δὲ ψάλλουσι ἐκ τοῦ κανόνος τῶν ἐγκαινίων τὴν α΄ καὶ γ΄ ᾠδήν, δευτεροῦντες τὰ τροπάρια αὐτῶν, εἰ μακράν ἐστιν ὁ νέος ναός.

Κανὼν τῶν ἐγκαινίων. Ποίημα Ἰωάννου μοναχοῦ. *Ἐν αὐτῷ προτάσσομεν ἀντὶ στίχου τὸ* Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον

Ὁ στύλῳ˚ καθοδηγῶν τὸ πρότερον˚ τὸν ἐκλεκτὸν Ἰσραήλ,˚ διὰ λουτροῦ βαπτίσματος, Χριστέ,˚ ἐν Σιὼν κατεφύτευσας˚ τὴν Ἐκκλησίαν κράζουσαν·˚ Ἄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Σήμερον˚ τῆς ἀπροσίτου δόξης σου˚ ἡ ἐπιφοίτησις˚ τὸν ἐπὶ γῆς παγέντα σοι ναὸν˚ οὐρανὸν κατεσκεύασεν,˚ ἐν ᾧ συμφώνως ψάλλομεν·˚ Ἄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Οὐ νόμῳ˚ ἡ Ἐκκλησίᾳ, Κύριε,˚ ἐγκαλλωπίζεται,˚ οὐ δουλικῶν ἐκτάσεσι χειρῶν,˚ τοῦ Σταυροῦ δὲ τῇ χάριτι˚ ἐγκαυχωμένη ψάλλει σοι·˚ Ἄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Θεοτοκίον

Ἀσπόρως˚ τῷ τοῦ Πατρὸς βουλήματι˚ ἐκ θείου Πνεύματος˚ τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν˚ καὶ σαρκὶ ἀπεκύησας,˚ τὸν ἐκ Πατρὸς ἀμήτορα˚ καὶ δι᾽ ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοὶ

Ἡγίασας ἐπὶ γῆς˚ τὴν Ἐκκλησίαν σου, Χριστέ, Πνεύματι,˚ χρίσας αὐτὴν σήμερον˚ σῆς ἀγαλλιάσεως ἔλαιον.

Θεμέλιόν σε, Χριστέ,˚ ἡ Ἐκκλησία ἀρραγὲς ἔχουσα,˚ τῷ σῷ Σταυρῷ στέφεται,˚ ὡς βασιλικῷ διαδήματι.

Ἀνέδειξας, ἀγαθέ,* τὴν χειροποίητον σκηνὴν σήμερον* τῆς ὑπὲρ νοῦν δόξης σου* οἰκονομικῶς οἰκητήριον.

Θεοτοκίον

Σὺ μόνη τοῖς ἐπὶ γῆς* τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος,* μήτηρ Θεοῦ, γέγονας·* ὅθεν σοι τὸ Χαῖρε προσάγομεν.

Φθάσαντες δὲ εἰς τὸν νέον ναόν, κυκλοῦσι τοῦτον ἀπὸ τοῦ δεξιοῦ μέρους πρὸς τὸ ἀριστερὸν καὶ ἵστανται πρὸ τῶν πυλῶν αὐτοῦ, ψάλλοντες τὸ τροπάριον·

Ἦχος βαρὺς

Ἅγιοι μάρτυρες,* οἱ καλῶς ἀθλήσαντες* καὶ στεφανωθέντες,* πρεσβεύσατε πρὸς Κύριον,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀποθέτει δ' ὁ Ἀρχιερεὺς τὰ ἅγια λείψανα ἐπὶ προευτρεπισθέντος τετραποδίου πρὸ τῆς μεγάλης πύλης τοῦ ναοῦ, κεκλεισμένης, ὡς εἴρηται, οὔσης, καὶ εὐθὺς λέγει ὁ

Ἀναγνώστης· Προκείμενον. Ἦχος α'. Ψαλμὸς κς'

Ὁ Διάκονος· Πρόσχωμεν.

Ὁ Ἀναγνώστης·

Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι;

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;

Ὁ Διάκονος· Σοφία.

Ὁ Ἀναγνώστης·

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

(Κεφ. β' 11-18)

Ὁ Διάκονος· Πρόσχωμεν.

Καὶ ἀναγινώσκεται ὑπὸ τοῦ Ἀναγνώστου ὁ

Α΄ Ἀπόστολος

Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες, δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ. Καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ' ἔστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου, διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Ὁ Ἀρχιερεύς· Εἰρήνη σοι.

Ὁ χορός· Ἀλληλούϊα *(γ΄). Ἦχος α΄. Ψαλμὸς νδ΄*

Στίχ. α΄ Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα καὶ ὁ Κύριος εἰσήκουσέ μου.

Στίχ. β΄ Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι καὶ ἀναγγελῶ καὶ εἰσακούσεται τῆς φωνῆς μου.

Ὁ Διάκονος·

Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Ἀρχιερεύς·

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

(Κεφ. ιϛʹ 13-19)

Ὁ Διάκονος· Πρόσχωμεν.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ ὁ Ἀρχιερεύς· ἀναγινώσκει τὸ

Αʹ Εὐαγγέλιον

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν Υἱὸν τοῦ ἀνθρώπου; Οἱ δὲ εἶπον· Οἱ μὲν Ἰωάννην τὸν βαπτιστήν· ἄλλοι δὲ Ἠλίαν, ἕτεροι δὲ Ἱερεμίαν ἢ ἕνα τῶν προφητῶν. Λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ Σίμων Πέτρος, εἶπε· Σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ· Μακάριος εἶ, Σίμων Βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. Κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ

οἰκοδομήσω μου τὴν Ἐκκλησίαν καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Εἶθ᾽ οὕτως λαμβάνει ὁ Ἀρχιερεὺς τὸν δίσκον καὶ τίθησιν αὐτὸν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. Λιτανεύουσι δὲ τὸ δεύτερον περὶ τὸν ναὸν ἐκ δεξιῶν ἐπὶ τὰ ἀριστερά, ψάλλοντες ἐκ τῆς δ᾽, ε᾽, καὶ ϛ᾽ ᾠδῆς τοῦ κανόνος τῶν ἐγκαινίων τὸ ἀρκοῦν, οὕτως·

Ὠδὴ δ᾽. Ἐπαρθέντα σε ἰδοῦσα

Οὐκ ἐν θύμασιν ἀλόγων ἡ Ἐκκλησία* ἀλλὰ τῷ σῷ τιμίῳ ἐκ πλευρᾶς ζωηφόρου* αἵματι ῥαντίζεται,* εἰκότως κραυγάζουσα·* Δόξα τῇ δυνάμει σου, Κύριε.

Τὰ σκηνώματα Κυρίου ἠγαπημένα,* τοῖς κατιδεῖν ποθοῦσιν ἀνακεκαλυμμένως* τὴν δόξαν τοῦ προσώπου αὐτοῦ,* συμφώνως κραυγάζουσι·* Δόξα τῇ δυνάμει σου, Κύριε.

Εἰκονίζουσα τὴν χρῖσιν ἡ Ἐκκλησία,* τοῦ ἐκλεκτοῦ λαοῦ σου, τὸ πολύτιμον μύρον* σήμερον ἀλείφεται, τὴν θείαν τοῦ Πνεύματος* χάριν ἀοράτως λαμβάνουσα.

Θεοτοκίον

Ἀπειρογάμως ἐκύησας, ὦ Παρθένε,* καὶ μετὰ τόκον ὤφθης, παρθενεύουσα πάλιν·* ὅθεν ἀσιγήτοις φωναῖς, τὸ Χαῖρέ σοι, Δέσποινα,* πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ὠδὴ ε΄. Σύ, Κύριέ μου, φῶς

Σὺ πάλαι ἐν Σινᾷ* σκηνὴν ἀχειροποίητον* ὑπέδειξας τῷ θεόπτη Μωυσῇ, διαγράφων,* Χριστέ, τὴν Ἐκκλησίαν σου.

Σύ, Κύριε, σκηνὴν* ἐπὶ γῆς κατεσκεύασας·* σὺ τάξεσιν οὐρανίαις* τῶν βροτῶν τὰς χορείας* συνάπτεις τῇ δυνάμει σου.

Σέ, Κύριε, πηγὴν* τῆς ζωῆς ἐπιστάμεθα·* σύ, ἅγιε, τὴν εἰρήνην* ἐλθὼν εὐηγγελίσω,* Χριστέ, τῇ Ἐκκλησίᾳ σου.

Θεοτοκίον

Σὲ ὅπλον ἀρραγὲς* κατ' ἐχθρῶν προβαλλόμεθα·* σὲ ἄγκυραν καὶ ἐλπίδα* τῆς ἡμῶν σωτηρίας,* Θεόνυμφε, κεκτήμεθα.

Ὠδὴ ς΄. Θύσω σοι μετὰ φωνῆς

Τοῦ κάλλους* ὁ βασιλεὺς Χριστὸς ἐπεθύμησε* νῦν τῆς σεπτῆς Ἐκκλησίας* καὶ ἐθνῶν μητέρα ἀπέδειξεν,* ἐκ δουλείας* υἱοθετουμένων διὰ τοῦ Πνεύματος.

Φρίττουσι* τῶν δυσμενῶν δαιμόνων αἱ φάλαγγες* τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν* τοῦ Σταυροῦ τῷ τύπῳ σημειουμένην* καὶ σκιάζει* ἁγιαστικὴ τοῦ Πνεύματος ἔλλαμψις.

Οὐ ψάμμον,* ἀλλὰ Χριστὸν θεμέλιον ἔχουσα* ἡ ἐξ ἐθνῶν Ἐκκλησία,* στεφανοῦται κάλλει τῷ ἀπροσίτῳ* καὶ διαδήματι* τῆς βασιλείας ἐγκαλλωπίζεται.

Θεοτοκίον

Ὢ θαῦμα˚ τῶν ἁπάντων θαυμάτων καινότερον!˚ ὅτι Παρθένος ἐν μήτρᾳ˚ τὸν τὰ σύμπαντα περιέποντα˚ ἀπειράνδρως˚ συλλαβοῦσα,˚ οὐχ ἐστενοχώρησε.

Καὶ πάλιν ἵστανται πρὸ τῶν πυλῶν τοῦ ναοῦ κατὰ τὸν ἀνωτέρω τύπον καὶ ψάλλουσι τὸ τροπάριον

Ἦχος βαρὺς

Δόξα σοι, Χριστὲ ὁ Θεός,˚ Ἀποστόλων καύχημα,˚ μαρτύρων ἀγαλλίαμα,˚ ὧν τὸ κήρυγμα˚ Τριὰς ἡ ὁμοούσιος.

Καὶ λέγεται ὑπὸ τοῦ Ἀναγνώστου Ἀπόστολος, μεθ' ὃ Εὐαγγέλιον ὑπὸ τοῦ Ἀρχιερέως, ὡς ἀκολούθως.

Ὁ Ἀναγνώστης· Προκείμενον. Ἦχος γ΄. Ψαλμὸς μδ΄

Ὁ Διάκονος· Πρόσχωμεν.

Ὁ Ἀναγνώστης·

Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.

Στίχ. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν βασιλέως.

Ὁ Διάκονος· Σοφία.

Ὁ Ἀναγνώστης·

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

(Κεφ. θ' 1-7)

Ὁ Διάκονος· Πρόσχωμεν.

Καὶ ἀναγινώσκεται ὑπὸ τοῦ Ἀναγνώστου ὁ

Β΄ Ἀπόστολος

Ἀδελφοί, εἶχε μὲν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό τε Ἅγιον κοσμικόν. Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα, σκηνὴ ἡ λεγομένη Ἅγια Ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς Διαθήκης, περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα καὶ αἱ πλάκες τῆς Διαθήκης. Ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον, περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες, εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

Ὁ Ἀρχιερεύς· Εἰρήνη σοι.

Ὁ χορός· Ἀλληλούϊα *(γ΄). Ἦχος πλ. δ΄. Ψαλμὸς μδ΄*

Στίχ. α΄ Ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.

Στίχ. β΄ Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Ὁ Διάκονος·

Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Ἀρχιερεύς·

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

(Κεφ. ι΄ 38-42, ια΄ 27-28)

Ὁ Διάκονος· Πρόσχωμεν.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ ὁ Ἀρχιερεὺς ἀναγινώσκει τὸ

Β΄ Εὐαγγέλιον

Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά. Γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τὸν λόγον αὐτοῦ. Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ, ἵνα μοι συναντιλάβηται. Ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· ἑνὸς δέ ἐστι χρεία. Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ'

αὐτῆς. Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε καὶ μαστοὶ οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπεν· Μενοῦν γε· Μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ καὶ φυλάσσοντες αὐτόν.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Αἴρει δὲ πάλιν ὁ Ἀρχιερεὺς τὸν δίσκον καὶ τίθησιν αὐτὸν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ λιτανεύουσι τὸ τρίτον κατὰ τὸν αὐτὸν τρόπον, κυκλοῦντες τὸν ναὸν καὶ ψάλλοντες τὰ ἐπίλοιπα τοῦ κανόνος τῶν ἐγκαινίων, οὕτως·

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι

Δροσοβόλος μὲν* ἡ καμινιαία φλὸξ ἐδείχθη ποτέ·* νῦν δὲ ἐξ ἐλαίου χρῖσμα πνευματικὸν* ἁγιάζει τοὺς κραυγάζοντας·* Εὐλογημένος εἶ* ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε.

Ὡς ἐν καμίνῳ* τῇ θεοδόχῳ ταύτῃ νέᾳ σκηνῇ* πάντες οἱ ἐξ Ἰσραὴλ τοῦ πνευματικοῦ* δροσιζόμενοι, βοήσωμεν·* Εὐλογημένος εἶ* ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε.

Οἱ τετρωμένοι* τῷ γλυκυτάτῳ θείῳ ἔρωτι,* δεῦτε ἐν παστάδι ταύτῃ βασιλικῇ* καὶ συναφθῶμεν τῷ Χριστῷ, κράζοντες·* Εὐλογημένος εἶ* ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε.

Θεοτοκίον

Τὸ τοῦ Ὑψίστου* ἡγιασμένον θεῖον σκήνωμα,* χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά,* Θεοτόκε, τοῖς κραυγάζουσιν·* Εὐλογημένη σὺ* ἐν γυναιξί, πανάμωμε Δέσποινα.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας Δανιὴλ

Σήμερον χιτῶνα νοητόν,* τὸν ἄνωθεν ὑφαντὸν ἐκ θείας χάριτος,* ἡ Ἐκκλησία σου, Κύριε,* ὥσπερ νύμφη ἐστολίσατο* καὶ τοὺς οἰκείους συγκαλεῖ* πρὸς εὐφροσύνην λαούς,* εἰς τὸ μέλπειν·* Πάντα τὰ ἔργα,* ὑμνεῖτε τὸν Κύριον.

Σήμερον ὁ δεύτερος Ἀδάμ,* Χριστός, ἀνέδειξε παράδεισον νοητὸν* τὴν νέαν ταύτην σκηνήν,* φέρουσαν κατὰ ξύλου τοῦ τῆς γνώσεως* τὸ ζωηφόρον τοῦ Σταυροῦ* ὅπλον, τοῖς ψάλλουσιν·* Εὐλογεῖτε,* πάντα τὰ ἔργα* Κυρίου, τὸν Κύριον.

Τριαδικὸν

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὸν Κύριον.

Πατρὸς ἐξ ἀνάρχου σε Υἱὸν* καὶ Πνεῦμα ἅγιον, μίαν θεότητα,* τελείαν, ἄναρχον, ἄτμητον,* ὁμοούσιον, ἀσύγχυτον,* ἐν ὑποστάσεσι τρισὶ* σέβοντες, ψάλλομεν·* Εὐλογεῖτε,* πάντα τὰ ἔργα* Κυρίου, τὸν Κύριον.

Θεοτοκίον

Σὺ μόνη ἐν πάσαις γενεαῖς,* Παρθένε ἄχραντε, μήτηρ ἐδείχθης Θεοῦ·* σὺ τῆς θεότητος γέγονας* ἐνδιαίτημα, πανάμωμε,* μὴ φλογισθεῖσα τῷ πυρὶ* τοῦ ἀπροσίτου φωτός·* ὅθεν πάντες* σὲ εὐλογοῦμεν,* Μαρία θεόνυμφε.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος ὄρους

Δεῦτε καθαρᾷ τῇ καρδίᾳ* καὶ νηφαλίοις ὄμμασι νοὸς* τῆς τοῦ Βασιλέως θυγατρός,* τῆς Ἐκκλησίας, τὴν ὡραιότητα,* ὑπὲρ χρυσίον λάμπουσαν* κατανοοῦντες, μεγαλύνωμεν.

Χαῖρε καὶ εὐφραίνου ἡ νύμφη,* τοῦ Βασιλέως τοῦ μεγάλου,* κατοπτριζομένη τηλαυγῶς,* τοῦ σοῦ νυμφίου τὴν ὡραιότητα* σὺν τῷ λαῷ σου κράζουσα·* Σέ, ζωοδότα, μεγαλύνομεν.

Τὴν ἐξ ὕψους ἄμυναν, Σῶτερ,* τῇ Ἐκκλησίᾳ σου παράσχου·* ἄλλον γὰρ πλήν σου οὐκ οἶδεν,* εἰ μὴ σέ, τὸν ὑπὲρ ταύτης τὴν σὴν* πάλαι ψυχὴν προθέμενον,* ἐν ἐπιγνώσει μεγαλύνουσα.

Θεοτοκίον

Χαῖρε κεχαριτωμένη ἡ νύμφη* τοῦ Βασιλέως τοῦ μεγάλου·* ὅτι διὰ σοῦ τῆς κατάρας* τῆς Εὔας πάντες, ἁγνή, ἐρρύσθημεν* καὶ τὴν ζωὴν εὑράμεθα* ἐν τῇ κυήσει σου, ἀνύμφευτε.

Φθάσαντες δὲ πρὸ τῆς πύλης τοῦ ναοῦ, ὁ μὲν Ἀρχιερεὺς ἀποτίθησι τὸν δίσκον μετὰ τῶν ἁγίων λειψάνων ἐπὶ τοῦ προευτρεπισθέντος τετραποδίου, ὁ δὲ χορὸς ψάλλει τὸ ἰδιόμελον·

Ἦχος γ΄

Ὁ ἐν τῇ πέτρᾳ τῆς πίστεως* οἰκοδομήσας τὴν Ἐκκλησίαν σου,* Χριστὲ ὁ Θεός,* ἐν αὐτῇ κατεύθυνον τὰς ἱκεσίας ἡμῶν* καὶ πρόσδεξαι λαὸν* ἐν πίστει βοῶντα·* Σῶσον ἡμᾶς, ὁ Θεὸς ἡμῶν.

Καὶ εὐθὺς ὁ Ἀρχιερεὺς ἐκφωνεῖ·

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς τοὺς αἰῶνας.

Ὁ χορός· Ἀμήν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ δὲ Ἀρχιερεὺς ἐπεύχεται τὴν εὐχὴν ταύτην·

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας· ὁ διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ ἐγκαινίσας ἡμῖν τῆς τῶν πρωτοτόκων Ἐκκλησίας, τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων, τὴν εἴσοδον, ἔνθα ἦχος καθαρὸς ἑορταζόντων καὶ φωνὴ ἀγαλλιάσεως· αὐτός, φιλάνθρωπε Δέσποτα, ἐπίβλεψον ἐφ᾽ ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου, τοὺς τὸν ἐγκαινισμὸν ἐπιτελοῦντας τοῦ σεβασμίου ναοῦ (τοῦ δεῖνος) εἰς σύμβολον τῆς ἁγιωτάτης σου Ἐκκλησίας, τουτέστιν αὐτοῦ τοῦ σκήνους ἡμῶν, ὅπερ καὶ ναόν σου καὶ μέλη Χριστοῦ σου διὰ τοῦ πανευφήμου ἀποστόλου Παύλου ὀνομάσαι κατηξίωσας· καὶ τοῦτον

στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος ἀσάλευτον καὶ δεδοξασμένον ἐν σοί· καὶ ἀξίωσον ἡμᾶς ἐν αὐτῷ αἰνέσεις καὶ δοξολογίας ἀκαταγνώστους προσάγειν τῇ δόξῃ σου καὶ τῷ μονογενεῖ σου Υἱῷ, τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, καὶ τῷ ἁγίῳ σου Πνεύματι, ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει· καὶ προσκυνοῦντάς σε ἐν φόβῳ σου, τῶν θείων δειχθῆναι ἀξίους οἰκτιρμῶν, εὐπροσδέκτους τε τῇ σῇ ἀγαθότητι γενέσθαι τὰς δεήσεις ταύτας, ἃς ὑπὲρ ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ προσάγομεν, πρεσβείαις τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ἐκφώνως·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ εὐθὺς ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ δὲ Ἀρχιερεὺς ἐπιφέρει τὴν εἰθισμένην τῆς εἰσόδου εὐχήν·

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον

σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Εἶτα λέγει μεγάλῃ τῇ φωνῇ ὁ Ἀρχιερεὺς (ἢ κατὰ τὴν ἀρχαιοτέραν τάξιν, ψάλλουσι κατ' ἀντιφωνίαν οἱ χοροὶ εἰς ἦχον πλ. β')·

Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν·* καὶ ἐπάρθητε, πύλαι αἰώνιοι* καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Καὶ ἀντιφωνεῖ τις ἔσωθεν τοῦ ναοῦ, ὄπισθεν τῶν κεκλεισμένων πυλῶν ἱστάμενος·

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;

Ὁ δὲ Ἀρχιερεὺς ἀποκρίνεται·

Κύριος κραταιὸς καὶ δυνατός·* Κύριος δυνατὸς ἐν πολέμῳ.

Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν* καὶ ἐπάρθητε, πύλαι αἰώνιοι,* καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Καὶ ἀντιφωνεῖ ὁ ἔσωθεν·

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;

Ὁ δὲ Ἀρχιερεὺς καὶ αὖθις ἀποκρίνεται·

Κύριος κραταιὸς καὶ δυνατός·* Κύριος δυνατὸς ἐν πολέμῳ.

Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν* καὶ ἐπάρθητε, πύλαι αἰώνιοι,* καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Καὶ πάλιν ἀντιφωνεῖ ὁ ἐντός·

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;

Καὶ ἀποκρίνεται ὁ Ἀρχιερεύς·

Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης.



Τούτου λεγομένου, αἴρει τὰ ἅγια λείψανα ὁ Ἀρχιερεὺς καί, σφραγίζων τὰς πύλας τρίτον, ἀνοίγει αὐτὰς καὶ εἰσέρχεται αὐτός τε καὶ ὁ ἱερὸς κλῆρος καὶ ὁ λαὸς εἰς τὸν νέον ναόν, ψάλλοντες τὸ ἀπολυτίκιον τῶν ἐγκαινίων·

Ἦχος β΄

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν* καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα* τοῦ ἁγίου σκηνώματος τῆς δόξης σου, Κύριε·* κραταίωσον αὐτὸ εἰς αἰῶνα αἰῶνος* καὶ πρόσδεξαι ἡμῶν* τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις,* πρεσβείαις τῆς Θεοτόκου,* ἡ πάντων ζωὴ καὶ ἀνάστασις.

Εἰσελθὼν δ᾽ ὁ Ἀρχιερεὺς μετὰ τοῦ κλήρου εἰς τὸ ἅγιον βῆμα, ἀποτίθησιν τὰ ἅγια λείψανα ἐν προητοιμασμένῃ λειψανοθήκῃ καὶ ἐπιχέει τρὶς αὐτοῖς ἅγιον μύρον, ἐπιλέγων τό·

Αἰωνία ἡ μνήμη τῶν κτιτόρων τοῦ ἁγίου ναοῦ τούτου.

Καὶ πάντες ἀποκρίνονται·

Αἰωνία ἡ μνήμη αὐτῶν.

Εἶθ᾽ οὕτως ὁ Ἀρχιερεὺς ἐπιτίθησι τὸ πῶμα τῇ θήκῃ καὶ καταθέτει αὐτὴν ἐν σκάμματι ἐν τῷ κίονι ἢ τῷ βωμῷ καὶ κατασφαλίζει αὐτὴν ἐπιχέων κηρομαστίχην.

Μεθ᾽ ὃ ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Καὶ ὁ Ἀρχιερεὺς ἀναγινώσκει ταύτην τὴν εὐχήν·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καὶ ταύτην τὴν δόξαν τοῖς ὑπὲρ σοῦ ἀθλήσασιν ἁγίοις μάρτυσι δωρησάμενος, τὸ σπείρεσθαι ἐν πάσῃ τῇ γῇ τὰ λείψανα αὐτῶν ἐν τοῖς ἁγίοις οἴκοις σου καὶ καρποὺς ἰαμάτων βλαστάνειν· αὐτός, Δέσποτα, ὁ πάντων τῶν ἀγαθῶν χορηγὸς ὑπάρχων, πρεσβείαις τῶν ἁγίων (δεῖνων), ὧν εὐδόκησας τὴν ἀπόθεσιν τῶν λειψάνων ἐν τούτῳ τῷ σεπτῷ οἴκῳ γενέσθαι, ἀξίωσον ἡμᾶς ἀκατακρίτως τὴν ἀναίμακτόν σοι προσενεγκεῖν ἐν αὐτῷ θυσίαν· καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, ἀντάμειψιν παρέχων καὶ ἐν τούτῳ τοῖς ἀθλήσασιν ὑπὲρ τοῦ ἁγίου ὀνόματός σου, τὸ θαυματουργεῖν δι᾽ αὐτῶν πρὸς ἡμετέραν σωτηρίαν.

Ἐκφώνως·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Μεθ᾽ ὃ ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Καὶ ὁ Ἀρχιερεὺς ἐπισυνάπτει ταύτην τὴν εὐχήν·

Κύριε ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ὁ πάντα ποιῶν καὶ πραγματευόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, πρόσδεξαι ἡμῶν τῶν ἀναξίων δούλων σου τὰς δεήσεις καὶ ἱκάνωσον ἡμᾶς ἐπὶ τῆς παρούσης ὥρας εἰς τὸ ἀκατακρίτως τὸν ἐγκαινισμὸν ἐπιτελέσαι τοῦ ναοῦ τούτου, τοῦ πρὸς σωτηρίαν ἡμῶν καὶ τὴν σὴν δοξολογίαν οἰκοδομηθέντος ἐπ' ὀνόματι τοῦ ἁγίου (τοῦ δεῖνος) καὶ τὴν ἔγερσιν τῆς ἐν αὐτῷ ποιῆσαι τραπέζης.

Ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ἄρχονται οἱ ψάλται ψάλλειν κατ᾽ ἀντιφωνίαν οὕτως τὸν

Ψαλμὸν ρμδ' (144)

Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας.

Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι.

Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται.

Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.

Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.

Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.

Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι.

Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου.

Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.

Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.

Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας.

Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.

Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς.

Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.

Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ ἐπισυνάπτουσι τὸν

Ψαλμὸν κβ΄ (22)

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, τὴν ψυχήν μου ἐπέστρεψεν.

Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.

Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ᾽ ἐμοῦ εἶ.

Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν.

Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξ ἐναντίας τῶν θλιβόντων με.

Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον.

Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῶν ψαλμῶν τούτων ὑπὸ τῶν χορῶν ψαλλομένων ὁ Ἀρχιερεύς, λαβὼν τὸ ἀγγεῖον μετὰ τῆς κηρομαστίχης καὶ τῶν ἀρωμάτων, οἷον σμύρνης καὶ ἀλόης καὶ τῶν λοιπῶν, ἐπιχέει ἐξ αὐτῆς τοῖς κίοσιν ἢ τῷ κίονι ἢ τῷ βωμῷ τὸ ἀρκοῦν, ἐπιλέγων, ὡς ἐπὶ τοῦ ἁγίου βαπτίσματος, τὸ

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

Καὶ τῆς κηρομαστίχης μικρὸν ψυχρανθείσης, ἐπιλαβόμενος τῆς πλακὸς τῆς ἁγίας τραπέζης ἅμα τοῖς συμπαροῦσι, τίθησιν ἐπὶ τοῦ κίονος, τῶν κιόνων ἢ τοῦ βωμοῦ καὶ ἐπερείδει αὐτὴν ἀσφαλῶς, προσκαλουμένου καὶ τεχνίτου τινός, εἰ δεήσειε. Ἀποξέουσι δὲ τὴν ἀπορρεύσασαν ἐπὶ τῶν κιόνων κηρομαστίχην καὶ καθαίρουσι τὸν τόπον, ἐφ᾽ οὗ αὕτη ἔρρευσεν.

[Κατὰ νεωτέραν ἁπλουστέραν πρᾶξιν ἡ πλὰξ τῆς ἁγίας τραπέζης εἶναι ἤδη ἡδρασμένη ἐπὶ τῶν κιόνων ὑπὸ τεχνιτῶν, ἡ δὲ κατάθεσις τῶν ἁγίων λειψάνων γίνεται ἐντὸς προητοιμασμένης ὀπῆς, ἥτις καλεῖται καὶ «φυτόν», εἰς τὸ κέντρον τῆς πλακός. Ἐκεῖ μετὰ τὴν ἀπόθεσιν τῶν ἁγίων λειψάνων ἐπιχέεται ἡ κηρομαστίχη καὶ ἡ ὀπὴ ἀσφαλίζεται διὰ τεμαχίου μαρμάρου].

Τούτων πάντων οὕτω γενομένων ὁ Ἀρχιερεὺς περιβάλλεται ἐπάνω τῶν ἀμφίων αὐτοῦ καὶ τοῦ ὠμοφορίου λευκὴν σινδόνα, διήκουσαν ἔμπροσθεν καὶ ὄπισθεν ἀπὸ τῶν ὤμων ἄχρι τῶν ποδῶν, καὶ τρισὶ ζώναις περιζώννυται αὐτήν, ὄπισθεν τοῦ αὐχένος, ὑπὸ τὰς μασχάλας περὶ τὸ στῆθος καὶ περὶ τὴν ὀσφύν. Ὁμοίως δ᾽ ἐν ταῖς χερσὶ περιτίθεται, οἱονεὶ μανίκια ἡνωμένα τῇ σινδόνι, μανδήλια καινὰ λευκά, τρισὶ περιδεσμούμενον ἕκαστον ζώναις, εἰς τὸ γενέσθαι τὰς ζώνας ἐννέα.

Μεθ᾽ ὃ δίδοται σημεῖον τοῖς ψάλταις καὶ δοξάζουσιν, ὁ δ᾽ Ἀρχιερεὺς ἐκφωνεῖ·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Μεθ᾽ ὃ λέγει ὁ Διάκονος·

Ἔτι καὶ ἔτι, **κλίναντες τὰ γόνατα** τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Καὶ ὁ Ἀρχιερεύς, κλίνας τὰ γόνατα ἐπὶ προσκεφαλαίου, ἄνω ἐπευχίου τάπητος τοποθετηθέντος πρὸ τῶν ἁγίων θυρῶν τοῦ ἱερατείου, καὶ βλέπων κατὰ ἀνατολάς, πάντων δὲ ὁμοίως κλινάντων τὰ γόνατα καὶ τὸν αὐχένα, ἐπεύχεται οὕτως·

Ὁ Θεὸς ὁ ἄναρχος καὶ ἀΐδιος, ὁ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών· ὁ φῶς οἰκῶν ἀπρόσιτον καὶ θρόνον ἔχων τὸν οὐρανόν, τὴν δὲ γῆν ὑποπόδιον· ὁ τῷ Μωυσῇ πρόσταγμα δοὺς καὶ ὑπογραμμόν, τῷ δὲ Βεσελεὴλ πνεῦμα σοφίας ἐνθεὶς καὶ ἱκανώσας αὐτοὺς πρὸς ἀπαρτισμὸν τῆς τοῦ μαρ-

τυρίου σκηνῆς, ἐν ᾗ λατρείας δικαιώματα ἦν, τῆς ἀληθείας εἰκόνες καὶ προχαράγματα· ὁ τῷ Σολομῶντι πλάτος καὶ χῦμα καρδίας δωρησάμενος καὶ δι' αὐτοῦ τὸν πάλαι ναὸν ἀναστήσας· τοῖς ἁγίοις δὲ καὶ πανευφήμοις σου ἀποστόλοις τὴν ἐν Πνεύματι λατρείαν καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς ἐγκαινίσας τὴν χάριν καὶ δι' αὐτῶν τὰς ἁγίας σου Ἐκκλησίας καὶ τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων, ἐν πάσῃ καταφυτεύσας τῇ γῇ εἰς τὸ προσάγεσθαί σοι τὰς νοερὰς καὶ ἀναιμάκτους θυσίας· ὁ καὶ τοῦτον νῦν τὸν ναὸν εὐδοκήσας ἐπ' ὀνόματι οἰκοδομηθῆναι τοῦ ἁγίου (τοῦ δεῖνος), πρὸς δόξαν δὲ σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ ἁγίου σου Πνεύματος· αὐτός, ἀθάνατε καὶ μεγαλόδωρε Βασιλεῦ, μνήσθητι τῶν οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσι· καὶ μὴ βδελύξῃ ἡμᾶς, πλήθει μεμολυσμένους ἁμαρτιῶν, μηδὲ βεβηλώσῃς τὴν διαθήκην σου διὰ τὴν ἡμετέραν ἀκαθαρσίαν· ἀλλὰ πάριδε καὶ νῦν τὰ παραπτώματα ἡμῶν καὶ ἐνίσχυσον ἡμᾶς καὶ ἱκάνωσον τῇ χάριτι καὶ ἐπιφοιτήσει τοῦ ἁγίου καὶ ζωοποιοῦ σου Πνεύματος, ἐκτελέσαι ἀκατακρίτως τὸν ἐγκαινισμὸν τοῦ ναοῦ τούτου καὶ τοῦ ἐν αὐτῷ θυσιαστηρίου ποιήσασθαι τὴν καθιέρωσιν· ἵνα, καὶ ἐν τούτῳ εὐλογοῦντές σε ψαλμοῖς καὶ ὕμνοις καὶ μυστικαῖς λειτουργίαις, τὴν σὴν εὐσπλαγχνίαν διὰ παντὸς μεγαλύνωμεν.

Ναί, Δέσποτα Κύριε, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς· ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ κατάπεμψον τὸ πανάγιόν σου καὶ προσκυνητὸν καὶ παντοδύναμον Πνεῦμα καὶ ἁγίασον τὸν οἶκον τοῦτον. Πλήρωσον αὐτὸν φωτὸς ἀϊδίου· αἱρέτισαι αὐτὸν εἰς κατοικίαν σήν· ποίησον αὐτὸν τόπον σκηνώματος δόξης σου· κατακόσμησον αὐτὸν τοῖς θείοις σου καὶ ὑπερκοσμίοις χαρίσμασι· κατάστησον αὐτὸν λιμένα χειμαζομένων, ἰατρεῖον παθῶν, καταφύγιον ἀσθενῶν, δαιμόνων φυγαδευτήριον, ἐν τῷ εἶναι τοὺς ὀφθαλμούς σου ἀνεῳγμένους ἐπ' αὐτὸν ἡμέρας καὶ νυκτὸς καὶ τὰ ὦτά σου προσέχοντα εἰς τὴν δέησιν τῶν ἐν φόβῳ σου καὶ εὐλαβείᾳ ἐν αὐτῷ εἰσιόντων καὶ ἐπικαλουμένων τὸ πάντιμον καὶ προσκυνητὸν ὄνομά σου· ὅσα ἂν αἰτήσωνταί σε, καὶ σὺ ἀκούσῃ ἐν τῷ οὐρανῷ ἄνω καὶ ποιήσεις ἔλεος καὶ ἵλεως ἔσῃ αὐτοῖς. Φύλαξον αὐτὸν ἕως τῆς συντελείας τοῦ αἰῶνος ἀσάλευτον καὶ τὸ ἐν αὐτῷ θυσιαστήριον ἅγιον ἁγίων ἀνάδειξον τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ ἁγίου σου Πνεύματος· δόξασον αὐτὸν ὑπὲρ τὸ κατὰ νόμον ἱλαστήριον, ὥστε τὰς ἐν αὐτῷ τελουμένας ἱερουργίας εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον καταντᾶν καὶ τὴν χάριν ἡμῖν κατακομίζειν τῆς σῆς ἀχράντου ἐπισκιάσεως. Θαρροῦμεν γὰρ οὐκ εἰς τὴν τῶν ἡμετέρων ἀναξίων χειρῶν ὑπουργίαν, ἀλλ' εἰς τὴν σὴν ἄφατον ἀγαθότητα.

Εἶτα λέγει ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Καὶ πάντων ἐγερθέντων, συνάπτει ὁ Διάκονος τὴν μεγάλην συναπτήν, ἤτοι τὰ εἰρηνικά, τοῦ χοροῦ ἀποκρινομένου ἐν ἑκάστῳ τούτων τὸ Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης ...

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου ...

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), ἱερωσύνης, δικαιοσύνης, ὑγείας καὶ σωτηρίας αὐτοῦ καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ἐκτενέστερον ὑπὲρ αὐτοῦ καὶ τῶν συμπαρόντων αὐτῷ ἱερέων, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸν οἶκον τοῦτον καὶ τὸ ἐν αὐτῷ θυσιαστήριον τῇ ἐπιφοιτήσει καὶ δυνάμει καὶ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ...

Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ....

Ὑπὲρ τοῦ Πατρὸς ἡμῶν ...

Ὑπὲρ τῆς ἁγίας μονῆς (ἢ τῆς πόλεως) ...

Ὑπὲρ εὐκρασίας ἀέρων ...

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων ....

Καὶ ὑπὲρ πάντων τῶν χρῃζόντων τῆς παρὰ Θεοῦ βοηθείας τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ...

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον ...

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τοῦ ἁγίου (δεῖνος, οὗ ἐστιν ὁ ἐγκαινιαζόμενος ναὸς) μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ Ἀρχιερεὺς ἐκφώνως·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις, τοῖς ὑπὲρ σοῦ ἀθλήσασι τιμίοις μάρτυσιν, ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ἐγγίσας δὲ ὁ Ἀρχιερεὺς τῇ ἁγίᾳ τραπέζῃ τὰ τοῦ βαπτίσματος ἐκτυποῖ.

Καὶ προσάγονται αὐτῷ νίτρα λευκὰ τρία, καὶ εὐλογήσας αὐτά, ποιεῖ δι' αὐτοῦ σταυροὺς τρεῖς ἐπὶ τῆς ἁγίας τραπέζης.

Κομίζεται δὲ καὶ ἡ σίτλα τοῦ ἁγίου βαπτίσματος ἢ ἐπιχύτης μεθ' ὕδατος χλιαροῦ καὶ σφραγίζει αὐτὸ τρίτον.

Μεθ' ὃ ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ δὲ Ἀρχιερεὺς ἐπικλίνων τῷ ὕδατι τὴν κεφαλὴν εὔχεται·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἁγιάσας τὰ ῥεῖθρα τοῦ Ἰορδάνου διὰ τῆς σωτηριώδους σου ἐπιφανείας, αὐτὸς καὶ νῦν κατάπεμψον τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος καὶ εὐλόγησον τὸ ὕδωρ τοῦτο πρὸς ἁγιασμὸν καὶ τελείωσιν τοῦ θυσιαστηρίου σου τούτου.

Ἐκφώνως·

Ὅτι εὐλογητὸς ὑπάρχεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Λαβὼν δ' ὁ Ἀρχιερεὺς ἐκ τοῦ ὕδατος τούτου, ἐπιχέει σταυροειδῶς τρὶς ἐπὶ τῆς πλακὸς τῆς ἁγίας τραπέζης τὸ ἀρκοῦν, ἐπιλέγων, ὡς καὶ ἐπὶ τοῦ ἁγίου βαπτίσματος·

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς

καὶ τοῦ Υἱοῦ

καὶ τοῦ ἁγίου Πνεύματος,

νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλουσιν οἱ χοροὶ κατ' ἀντιφωνίαν οὕτως τὸν

Ψαλμὸν πγ΄ (83)

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων.

Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου.

Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.

Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς.

Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων, ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου.

Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε.

Μακάριος ἀνήρ, ᾧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ· ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο, εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν ἔθετο.

Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν· πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών.

Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι ὁ Θεὸς Ἰακώβ.

Ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ Θεός, καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ χριστοῦ σου.

Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου, ὑπὲρ χιλιάδας.

Ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν.

Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος ὁ Θεός, χάριν καὶ δόξαν δώσει.

Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.

Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἐκπλύνει ὁ Ἀρχιερεὺς τὴν ἁγίαν τράπεζαν καὶ τὸν κίονα διὰ τῶν νίτρων καὶ ἐκμάσσει αὐτὴν καλῶς διὰ σπόγγων καινῶν ἢ λινῶν καθαρῶν ὑφασμάτων ἢ καὶ τῶν ἀντιμινσίων. Μετὰ δὲ καὶ τὴν τελείαν ἀπόσμηξιν, δοξάζουσιν οἱ ψάλται καὶ ἐκφωνεῖ ὁ Ἀρχιερεύς·

Δόξα τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας.

Ὁ χορός· Ἀμήν.

Εἶτα λαμβάνει ὁ Ἀρχιερεὺς βικίον, ἤτοι ἀγγεῖον, πλῆρες οἰνάνθης καὶ ῥοδοστάγματος καὶ ἐπιχέει τρὶς ἐπὶ τῆς ἁγίας τραπέζης, ποιῶν σταυροὺς τρεῖς καὶ λέγων τοὺς ἐκ τοῦ ν' ψαλμοῦ κάτωθι στίχους·

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Καὶ ψάλλουσιν οἱ χοροὶ κατ' ἀντιφωνίαν τὸ λοιπὸν τοῦ ν' ψαλμοῦ, ἄχρις οὗ ὁ Ἀρχιερεὺς ὑφαπλώσῃ διὰ τῶν χειρῶν τὴν οἰνάνθην ἐπὶ τῆς πλακὸς καὶ ἀποσμήξῃ αὐτήν.

Ἦχος βαρὺς

Ψαλμὸς ν΄ (50)

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ὅτε δοξάσουσιν οἱ ψάλται, ἐκφωνεῖ ὁ Ἀρχιερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Τότε λαβὼν τὸ δοχεῖον τοῦ ἁγίου μύρου, ἐπιχέει ἐξ αὐτοῦ τρίς, ποιῶν σταυροὺς τρεῖς ἐξ αὐτοῦ ἐπὶ τῆς πλακός, ἐν ᾧ ἐν ἑκάστῳ τούτων ἐκφωνεῖ

ὁ Διάκονος· Πρόσχωμεν.

Καὶ πάντων ψαλλόντων τρὶς ἐπὶ τρεῖς τό·

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.

Εἶτα ψάλλουσιν οἱ ψάλται κατ᾽ ἀντιφωνίαν τὸν

Ψαλμὸν ρλβ′ (132)

Ἰδού, δή, τί καλὸν ἢ τί τερπνόν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;

Ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ.

Ὡς δρόσος Ἀερμών, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών· ὅτι ἐκεῖ ἐνετείλετο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

Ψαλλομένου δὲ τοῦ ψαλμοῦ τούτου ἅπαξ ἢ καὶ δίς, εἰ δεήσει, ὁ Ἀρχιερεὺς ἐφαπλοῖ διὰ τῶν παλαμῶν τὸ ἅγιον μύρον ἐπὶ πάσης τῆς πλακὸς τῆς ἁγίας τραπέζης, ποιεῖ δὲ καὶ σταυροὺς δι᾽ αὐτοῦ ἐπὶ τοῦ ἀνέχοντος αὐτὴν κίονος ἢ τῶν κιόνων ἢ τοῦ βωμοῦ, ἐκμάσσει δὲ αὐτὴν διὰ τῶν ἀντιμινσίων. Τότε δοξάζουσιν οἱ ψάλται.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ὁ Ἀρχιερεὺς ἐκφωνεῖ·

Δόξα σοι ἁγία Τριάς, ὁ Θεὸς ἡμῶν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ εὐθὺς οἱ ψάλται ἄρχονται ψάλλειν ἀντιφωνικῶς τὸν

Ψαλμὸν ρλα΄ (131)

Μνήσθητι, Κύριε, τοῦ Δαυῒδ καὶ πάσης τῆς πραότητος αὐτοῦ.

Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ.

Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου.

Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ.

Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εὐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.

Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.

Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.

Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Ἕνεκεν Δαυῒδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου.

Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν.

Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.

Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς, καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου.

Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν.

Τὴν θύραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων.

Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται.

Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυΐδ· ἡτοίμασα λύχνον τῷ χριστῷ μου.

Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ ψαλμοῦ τούτου ψαλλομένου ἐπικολλᾷ ὁ Ἀρχιερεὺς διὰ κηρομαστίχης ἐπὶ τὰς τέσσαρας γωνίας τῆς ἁγίας τραπέζης τὰ ὀνόματα ἢ καὶ τὰς εἰκόνας τῶν τεσσάρων Εὐαγγελιστῶν ἐπὶ πανίων ἢ χαρτίων καὶ ἐπιλαβόμενος τὸ λινοῦν λευκὸν κατασάρκιον ἐφαπλοῖ ἐπὶ τῆς πλακός, δεσμοῦσι δὲ τοῦτο ἐπὶ τοῦ κίονος σταυροειδῶς διὰ σχοινίων.









Καὶ τοῦ ἔργου τούτου περατωθέντος, ἀπονίπτεται καλῶς τὰς χεῖρας ὁ Ἀρχιερεὺς καὶ ἐκμάσσει μανδηλίῳ καινῷ. Δοξάζουσι δὲ οἱ ψάλται καὶ ἐκφωνεῖ ὁ Ἀρχιερεύς·

Δόξα τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας.

Ὁ χορός· Ἀμήν.

Εἶθ' οὕτως οἱ χοροὶ ψάλλουσιν ἀντιφωνικῶς τὸν

Ψαλμὸν ϟβ' (92)

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.

Ἐπῆραν οἱ ποταμοί, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν.


Ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν.

Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος.

Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Ψαλλομένου τούτου τοῦ ψαλμοῦ, λαβὼν ὁ Ἀρχιερεὺς τὴν ἐνδυτὴν ἐφαπλοῖ ἐπὶ τῆς ἁγίας τραπέζης, ἐπ᾽ αὐτῆς δὲ τὰ ἀντιμίνσια, ἓν πρὸς ἕν, θάτερον θατέρῳ ἐπιτιθέμενος, καὶ ἐπάνω τούτων τὸ τῆς Ἐκκλησίας ἀντιμίνσιον καὶ τίθησιν ἐπ᾽ αὐτοῦ τὸ ἱερὸν Εὐαγγέλιον καὶ γίνεται ἀσπασμός.

Πάντων δὲ τούτων γενομένων, δοξάζουσιν οἱ ψάλται καὶ ἐκφωνεῖ ὁ Ἀρχιερεύς·

Δόξα σοι, ἁγία Τριάς, ὁ Θεὸς ἡμῶν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλουσιν οἱ χοροὶ κατ᾽ ἀντιφωνίαν τὸν

Ψαλμὸν κε΄ (25)

Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην· καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων, οὐ μὴ ἀσθενήσω.

Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με· πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου.

Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μού ἐστι, καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.

Οὐκ ἐκάθησα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω.

Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.

Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε.

Τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.

Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου.

Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου.

Ὧν ἐν χερσὶν αἱ ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.

Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην, λύτρωσαί με Κύριε, καὶ ἐλέησόν με.

Ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ τοῦ ψαλμοῦ τούτου ψαλλομένου, ὅσον ἐγχωρεῖ, ἅπαξ ἢ καὶ δίς, προσφέρουσι τῷ Ἀρχιερεῖ τὸ θυματήριον καί, βαλὼν θυμίαμα καὶ εὐλογήσας συνήθως, θυμιᾷ τὴν ἁγίαν τράπεζαν κύκλῳ καὶ τὸ ἱερατεῖον καὶ τὸν ναὸν ἅπαντα καὶ πάντας τοὺς ἐν αὐτῷ. Ὄπισθεν δὲ τούτου πορεύεται εἷς τῶν Ἀρχιερέων ἢ καὶ Ἱερεὺς ἔχων ἀγγεῖον μύρου καὶ κάλαμον μετὰ σπόγγου καὶ χρίει σταυροειδῶς τὸν ναὸν κατὰ ἀνατολάς, ἄνωθεν τῆς κόγχης τοῦ ἱεροῦ βήματος, πρὸς δυσμάς, ἄνωθεν τῆς πύλης, βορρᾶν καὶ νότον καὶ εἰς ἕκαστον κίονα ἢ πεσσόν, χαράσσων σταυρὸν ἢ τὸ μονόγραμμα τοῦ Χριστοῦ (ΧΡ).

Πληρωθείσης δὲ τῆς θυμιάσεως καὶ τῆς χρίσεως τοῦ ναοῦ, ἐπιστρέφει ὁ Ἀρχιερεὺς καὶ οἱ μετ᾽ αὐτοῦ εἰς τὸ ἅγιον βῆμα καὶ ἀποτίθησι τὸν θυματόν.

Προσφέρουσι δὲ τῷ Ἀρχιερεῖ λυχνίαν καινὴν καὶ ἔλαιον καὶ φῶς. Καὶ ἐπιχέας ἔλαιον τῇ λυχνίᾳ, ἀνάπτει αὐτὴν καὶ ἀποτίθησι τῷ ἁγίῳ θυσιαστηρίῳ, ἐπιτρέπει δὲ ἀνάψαι κηρία καὶ πάντα τὰ φῶτα τοῦ ναοῦ, καὶ δίδωσι καιρὸν ἑνὶ τῶν ἱερέων, ἵνα τελέσῃ τὰ τῆς προσκομιδῆς.

Αὐτὸς δὲ ὁ Ἀρχιερεὺς ἀποτίθησι τὴν σινδόνα καὶ ἐκφωνεῖ·

Δόξα τῇ ἁγίᾳ καὶ παντοδυνάμῳ καὶ ζωοποιῷ Τριάδι πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Τελειωθέντων τούτων ἁπάντων λέγει ὁ Διάκονος τὴν μικρὰν συναπτήν·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ (τοῦ ἁγίου τοῦ νέου ναοῦ) μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Καὶ ὁ Ἀρχιερεὺς ἐκφωνεῖ·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Μεθ' ὃ ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ δὲ Ἀρχιερεὺς πρὸ τῆς ἁγίας τραπέζης ἑστώς, λέγει μεγαλοφώνως τὴν εὐχὴν ταύτην·

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τοῦ οὐρανοῦ καὶ τῆς γῆς ποιητής, ὁ τὴν ἁγίαν σου Ἐκκλησίαν ἀρρήτῳ σοφίᾳ θεμελιώσας καὶ ἀντίτυπον τῆς ἀγγελικῆς ἐν οὐρανῷ λειτουργίας τὴν τῆς ἱερωσύνης τάξιν ἐπὶ τῆς γῆς συστησάμενος· σύ, Δέσποτα μεγαλόδωρε, πρόσδεξαι καὶ νῦν δεομένους ἡμᾶς, οὐχ ὡς ἀξίους ὄντας περὶ τηλικούτων αἰτεῖν, ἀλλ' ἵνα τὸ ὑπερβάλλον δειχθῇ τῆς σῆς ἀγαθότητος· οὐ γὰρ ἐπαύσω τὸ ἀνθρώπινον γένος πολυτρόπως εὐεργετῶν, κεφάλαιον δὲ ἡμῖν τῶν σῶν εὐεργεσιῶν ἐδωρήσω τὴν ἐν σαρκὶ τοῦ μονογενοῦς σου Υἱοῦ παρουσίαν.

Ὅς, ἐπὶ γῆς ὀφθεὶς καὶ λάμψας τοῖς ἐν σκότει φῶς σωτηρίας, ἀνήνεγκεν ἑαυτὸν ὑπὲρ ἡμῶν θυσίαν καὶ γέγονε τοῦ κόσμου παντὸς ἱλαστήριον, κοινωνοὺς ἡμᾶς τῆς ἰδίας ἀναστάσεως ποιησάμενος· καὶ ἀναληφθεὶς εἰς τοὺς οὐρανούς, ἐνέδυσε τοὺς ἑαυτοῦ μαθητὰς καὶ ἀποστόλους, καθὼς ἐπηγγείλατο, δύναμιν ἐξ ὕψους, ἥτις ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ προσκυνητὸν καὶ παντοδύναμον, τὸ ἐκ σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον· δι' οὗ γενόμενοι δυνα-

τοὶ ἐν ἔργῳ καὶ λόγῳ, βάπτισμα παρέδωκαν υἱοθεσίας, ἐκκλησίας ἀνέστησαν, ἵδρυσαν θυσιαστήρια, ἱερωσύνης ἔθεντο κανόνας καὶ νόμους· ὧν ἡμεῖς οἱ ἁμαρτωλοὶ κατέχοντες τὴν παράδοσιν, προσπίπτομέν σοι τῷ αἰωνίῳ Θεῷ καὶ δεόμεθά σου, εὔσπλαγχνε·

Τὸν πρὸς τὴν σὴν ὑμνῳδίαν οἰκοδομηθέντα τοῦτον ναὸν τῆς θείας σου πλήρωσον δόξης καὶ τὸ ἐν αὐτῷ παγὲν θυσιαστήριον ἅγιον ἁγίων ἀνάδειξον· ὥστε ἡμᾶς, παρεστῶτας αὐτῷ, ὡς τῷ φρικτῷ τῆς βασιλείας σου θρόνῳ, ἀκατακρίτως λατρεύειν σοι, δεήσεις ὑπὲρ ἡμῶν καὶ τοῦ λαοῦ σου παντὸς ἀναπέμποντας καὶ τὴν ἀναίμακτον θυσίαν τῇ σῇ προσφέροντας ἀγαθότητι, εἰς ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων συγχώρησιν, εἰς κυβέρνησιν βίου, εἰς ἀγαθῆς πολιτείας κατόρθωσιν, εἰς πλήρωσιν πάσης δικαιοσύνης.

Ἐκφώνως·

Ὅτι ηὐλόγηταί σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Καὶ ὁ Ἀρχιερεύς, πάντων κλινόντων τὰς κεφαλάς, ἐπεύχεται τὴν τελευταίαν ἐπὶ τῇ καθιερώσει τοῦ θείου ναοῦ εὐχήν·

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὅτι, ἣν ἐξέχεας χάριν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους καὶ ἐπὶ τοὺς ὁσίους ἡμῶν πατέρας, ἠξίωσας διὰ τὴν πολλήν σου φιλανθρωπίαν μέχρις ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ἐκτεῖναι. Διὸ δεόμεθά σου, Δέσποτα πολυέλεε· πλήρωσον δόξης καὶ ἁγιασμοῦ καὶ χάριτος τὸ θυσιαστήριόν σου τοῦτο εἰς τὸ μεταποιεῖσθαι τὰς ἐν αὐτῷ προσφερομένας σοι ἀναιμάκτους θυσίας εἰς τὸ ἄχραντον σῶμα καὶ τὸ τίμιον αἷμα τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, πρὸς σωτηρίαν παντὸς τοῦ λαοῦ σου καὶ τῆς ἡμῶν ἀναξιότητος.

Ἐκφώνως·

Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σῴζειν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Εἶθ' οὕτως ἐκφωνεῖ μεγάλῃ τῇ φωνῇ ὁ Διάκονος·

Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ χορός· Ἐν ὀνόματι Κυρίου.

Καὶ ὁ Διάκονος αὖθις ὑψιφώνως· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Καὶ ὁ Ἀρχιερεὺς ἐκφωνεῖ·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ

Ὁ Διάκονος· Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλεται τὸ τρισάγιον, ὡς ἔθος ἐν τῇ θείᾳ Λειτουργίᾳ, ἔξωθεν καὶ ἔσωθεν, τοῦ Ἀρχιερέως λέγοντος τὴν εὐχὴν τοῦ τρισαγίου.

Εἶτα λέγονται αἱ φῆμαι καὶ πολυχρονεῖται ὁ Ἀρχιερεύς.

Καὶ εὐθὺς ὁ Διάκονος· Πρόσχωμεν.

Καὶ ἀναγινώσκεται ὁ Ἀπόστολος.

Ὁ Ἀναγνώστης· Προκείμενον. Ἦχος δ'. Ψαλμὸς ϟβ'

Ὁ Διάκονος· Πρόσχωμεν.

Ὁ Ἀναγνώστης·

Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο.

Ὁ Διάκονος· Σοφία.

Ὁ Ἀναγνώστης·

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

(Κεφ. γ΄ 1-3)

Ὁ Διάκονος· Πρόσχωμεν.

Καὶ ἀναγινώσκεται ὑπὸ τοῦ Ἀναγνώστου ὁ

Ἀπόστολος

Ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, Χριστὸν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, ὡς καὶ Μωυσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωυσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν· πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος, ὁ δὲ τὰ πάντα κατασκευάσας, Θεός.

Συναπτῶς δ' ἀναγινώσκεται καὶ ὁ Ἀπόστολος τοῦ ἁγίου, ἐπ' ὀνόματι τοῦ ὁποίου ἐγκαινίασται ὁ ναός.

Ὁ Ἀρχιερεύς· Εἰρήνη σοι.

Ὁ χορός· Ἀλληλούϊα *(γ΄). Ἦχος δ΄. Ψαλμὸς ξδ΄*

Στίχ. α΄ Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιὼν καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.

Στίχ. β΄ Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου· ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Ὁ Διάκονος·

Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ ἀπὸ τοῦ ἄμβωνος Διάκονος·

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

(Κεφ. ι′ 22-28)

Ὁ Διάκονος· Πρόσχωμεν.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ ὁ Διάκονος ἀναγινώσκει ἀπὸ τοῦ ἄμβωνος τὸ

Εὐαγγέλιον

Τῷ καιρῷ ἐκείνῳ, ἐγένετο τὰ ἐγκαίνια ἐν τοῖς Ἱεροσολύμοις καὶ χειμὼν ἦν. Καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ Ἱερῷ ἐν τῇ στοᾷ τοῦ Σολομῶντος. Ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον αὐτῷ· Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν παρρησίᾳ. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς. Εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε· τὰ ἔργα, ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ· ἀλλ’ ὑμεῖς οὐ πιστεύετε· οὐ γάρ ἐστε ἐκ τῶν προβάτων τῶν ἐμῶν, καθὼς εἶπον ὑμῖν.

Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτά, καὶ ἀκολουθοῦσί μοι· κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς.

Εἰ δὲ Κυριακή ἐστιν ἢ ἑορτή, λέγεται πρῶτον τὸ Εὐαγγέλιον τῶν ἐγκαινίων καὶ εἶτα τὸ τῆς Κυριακῆς ἢ τῆς ἑορτῆς.

Εἶτα ὑπὸ τοῦ Διακόνου ἡ ἐκτενής, ἐν ᾗ καὶ δέησις ὑπὲρ ὑγείας καὶ σωτηρίας τῶν κτιτόρων τοῦ ναοῦ καὶ μακαρίας μνήμης τῶν κεκοιμημένων, καὶ τὰ κατηχούμενα.

Ὁ δὲ Ἀρχιερεὺς τὰς εὐχὰς τῶν πιστῶν, ὡς συνήθως, καὶ τὴν ἐκφώνησιν Ὅπως ὑπὸ τοῦ κράτους σου ...

Ἀντὶ δὲ χερουβικοῦ ψάλλει ὁ α΄ χορὸς τό·

Σιγησάτω πᾶσα σὰρξ βροτεία* καὶ στήτω μετὰ φόβου καὶ τρόμου* καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω·* ὁ γὰρ Βασιλεὺς τῶν βασιλευόντων* καὶ Κύριος τῶν κυριευόντων* προσέρχεται σφαγιασθῆναι* καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς·* προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν ἀγγέλων* μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας,*

Ὁ β΄ χορός·

Τὰ πολυόμματα Χερουβὶμ* καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ,* τὰς ὄψεις καλύπτοντα* καὶ βοῶντα τὸν ὕμνον·* Ἀλληλούϊα,* ἀλληλούϊα,* ἀλληλούϊα.

Καὶ ἐφεξῆς τὰ λοιπὰ τῆς θείας Λειτουργίας.

Κοινωνικὸν ψάλλομεν τό·

Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου· καὶ τόπον σκηνώματος δόξης σου.


Καὶ τό·

Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε,· εἰς μακρότητα ἡμερῶν.

Ἐν δὲ Κυριακῇ καὶ τό·

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν.

• *Ἰστέον δὲ ὅτι μέχρι συμπληρώσεως ἑπτὰ ἡμερῶν καθ' ἑκάστην ἐν τῷ τοιούτῳ ναῷ Λειτουργία τελεῖται, τῶν ἀντιμινσίων ἐπικειμένων τῷ τῆς ἁγίας τραπέζης ἁπλώματι. Μετὰ δὲ τὴν ἑβδόμην αἴρονται τὰ ἀντιμίνσια. Καὶ λοιπὸν ἱερουργία καὶ χωρὶς ἀντιμινσίου γίνεται ἐν τῷ ναῷ τούτῳ διὰ τὸ εἶναι αὐτὸν καθιερωμένον.*




Ὁ ἍΓ
ΑΠ
ΜΑΤΘΑΙ-
ΟΣ

ΕΥΧΑΙ ΕΤΕΡΑΙ

ΕΙΣ

ΕΓΚΑΙΝΙΑ ΝΑΟΥ

Εὐχὴ
εἰς τὰ ἐγκαίνια τοῦ θείου ναοῦ

Καλλίστου Πατριάρχου Κωνσταντινουπόλεως

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τὴν κτίσιν μόνῳ τῷ λόγῳ δημιουργήσας καὶ εἰς τὸ εἶναι παραγαγών, ἀρρήτοις δὲ λόγοις ποικίλως ταύτην διαμορφώσας· ὁ τὸ ἐπιφερόμενον ἐπ' αὐτῇ σὸν Πνεῦμα συστείλας καὶ τὸ ἡλιακὸν τοῦτο φῶς ἐπ' αὐτὴν ἐκχέας εἰς ταύτης τὸν ἐγκαινισμόν· ὁ τῷ θεράποντί σου Μωσεῖ ἐμπνεύσας ἔπαινόν τινα ἐξαίρετον προσθεῖναι τῇ ἀρίστῃ σου δημιουργίᾳ καὶ εἰπεῖν· ἰδεῖν σε τὸ φῶς ὅτι καλόν, καὶ ἡμέραν τοῦτο καλέσαι· ὅπερ δὴ καὶ ἡμεῖς ὁρῶντες καὶ τὸν φαεινότατον τοῦτον ἥλιον, ἐγκαινίζοντα καθ' ἑκάστην τὴν κτίσιν, σὲ τὸν τῆς ὄντως ἡμέρας δοξάζομεν ἥλιον καὶ τὸ φῶς σου τὸ ἀνέσπερον· ὁ διὰ τοῦ Υἱοῦ σου ἡμῖν ἐντειλάμενος ἐγκαινισθῆναι τὴν ἡμετέραν φύσιν τῷ ἁγίῳ σου Πνεύματι, ὥστε καὶ διὰ τῆς δωρεᾶς ταύτης τοὺς

δικαίους ἐκλάμψειν κατὰ τὸν ἥλιον· σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν τὸν Πατέρα τοῦ Λόγου, τὸν Κύριον καὶ Θεὸν ἡμῶν·

Ἐπειδή, τῇ ἀφάτῳ σου φιλανθρωπίᾳ καὶ τῷ ἀμετρήτῳ σου ἐλέει, ἡ κτίσις τὸν ἐγκαινισμὸν ἐδέξατο καὶ ὁ παλαιὸς Νόμος, εἰς τύπον τῆς νέας Διαθήκης, ἐν τῇ παρὰ τῷ Σινᾷ ὄρει σῇ θεοπτίᾳ καὶ ἐν τῇ Βάτῳ ἐκείνῃ τῇ θαυμαστῇ καὶ ἐν τῇ τοῦ μαρτυρίου Σκηνῇ καὶ ἐν τῷ τοῦ Σολομῶντος ἐκείνῳ περικαλλεστάτῳ Ναῷ· ἱλέῳ ὄμματι ἐπίβλεψον ἐφ' ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου, τοὺς κατοικοῦντας τοῦτον τὸν οἶκον τὸν οὐρανομήκη, τὸ τῆς οἰκουμένης καύχημα, τὸ θυσιαστήριον τὸ ἀληθινὸν τῆς σῆς ἀρρήτου δόξης· καὶ κατάπεμψον τὸ πανάγιόν σου Πνεῦμα ἐφ' ἡμᾶς καὶ ἐπὶ τὴν κληρονομίαν σου καὶ κατὰ τὸν θεῖον Δαυῒδ ἐγκαίνισον ἐν ταῖς καρδίαις ἡμῶν πνεῦμα εὐθὲς καὶ πνεύματι ἡγεμονικῷ στήριξον ἡμᾶς· καὶ τοῖς μὲν βασιλεῦσιν (ἢ ἄρχουσιν) ἡμῶν τρόπαια καὶ νίκας κατὰ τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν δώρησαι, ἡμῖν δὲ ὁμόνοιαν καὶ εἰρήνην· τοῖς δὲ τὴν οἰκοδομὴν ταύτην καὶ τὸν τοῦ ναοῦ ἐγκαινισμόν, ἔρωτι θείῳ ποιησαμένοις διὰ σπουδῆς, ἄφεσιν τῶν πλημμελημάτων παράσχου· δώρησαι αὐτοῖς τὰ πρὸς σωτηρίαν αἰτήματα· ἔγειρον αὐτοὺς εἰς τὴν ἐργασίαν τῶν ἐντολῶν σου· χάρισαι αὐτοῖς τὸν ἐγκαινισμὸν τῆς δωρεᾶς τοῦ

ἁγίου σου Πνεύματος, ἵνα ἀκατακρίτως προσκυνῶσί σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν, πρεσβείαις τῆς Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ἀμήν.


Εὐχὴ ἑτέρα

(ὁμοίως τοῦ αὐτοῦ)

Προαιώνιε Λόγε καὶ Υἱὲ μονογενὲς τοῦ Θεοῦ, Θεὲ ἀληθινέ, Δημιουργὲ πάσης κτίσεως αἰσθητῆς τε καὶ νοητῆς· ὁ ταύτην τὴν κτίσιν πανσόφως καθωραΐσας· ὁ τὴν ἐπάνω τῆς γῆς ὑγρὰν καὶ διαλελυμένην τῶν ὑδάτων φύσιν εἰς μίαν συναγωγὴν καὶ συνάθροισιν ἀγαγών, καὶ τῷ θείῳ σου Πνεύματι, τῷ ἐπάνω τοῦ ὕδατος ἐπιφερομένῳ, τὴν γῆν πᾶσαν κατακοσμήσας, καὶ τὸν κόσμον ἅπαντα ἐγκαινίσας· ὁ τὴν σκηνὴν τοῦ μαρτυρίου ἐκείνην τεχνικῶς κατασκευάσας διὰ Μωσέως καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ ἐγκαινίσας αὐτήν.

Ὁ τῷ σοφῷ Σολομῶντι προστάξας οἰκοδομῆσαι οἶκον ἅγιον καὶ περιφανῆ τῆς σῆς ἀφράστου καὶ ἀνεκδιηγήτου δόξης καὶ τοῦτον ἐγκαινίσας τῷ Πνεύματί σου τῷ ἁγίῳ καί, τῆς ἐπικαλυψάσης αὐτὸν τότε δόξης καὶ χάριτος τοῦ ἁγίου σου Πνεύματος, πάντας τοὺς τῆς γερουσίας ἐκείνης τῶν Ἰουδαίων θεατὰς γενέσθαι παρασκευάσας· σοῦ δεόμεθα

καὶ σὲ παρακαλοῦμεν, ἄναρχε Λόγε καὶ Υἱὲ τοῦ ἀνάρχου Πατρός, ἵνα καὶ ἡμῖν ἐν τῇ ὥρᾳ ταύτῃ καταπέμψῃς τὴν χάριν τοῦ παναγίου σου Πνεύματος καὶ τὸν νῦν ἐγερθέντα ναόν, εἰς σὴν δοξολογίαν καὶ ἔπαινον, στηρίξῃς καὶ ἐνδυναμώσῃς, φυλάττων αὐτὸν ἕως τῆς τῶν αἰώνων συντελείας, καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ τοῦτον ἐγκαινίσῃς, ὡς ἂν ἐν αὐτῷ τὰς ἀναιμάκτους θυσίας προσφέροντές σοι, μέτοχοι γενώμεθα τοῦ ἁγίου Πνεύματος, ἐγκαινισθέντος ἐν τοῖς ἐγκάτοις ἡμῶν καὶ τὸ τῆς διανοίας ἡμῶν ἡγεμονικὸν στηρίζοντος καὶ παρέχοντος μυστικῶς τὰς νοερὰς θυσίας, διὰ τῆς καθάρσεως τοῦ νοός, προσφέρειν σοι τῷ Δεσπότῃ Θεῷ, εἰς δόξαν καὶ τιμὴν τοῦ ἀνάρχου καὶ ἀθανάτου Πατρός σου καὶ σοῦ τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ

ΚΑΤΑ ΤΗΝ ΑΝΑΜΝΗΣΙΝ

ΕΓΚΑΙΝΙΩΝ ΤΟΥ ΘΕΙΟΥ ΝΑΟΥ

Ἰστέον ὅτι, κατὰ τὴν παράδοσιν τῶν ἁγίων Πατέρων, δεῖ τὴν ἡμέραν τῶν ἐγκαινίων τοῦ ναοῦ παραφυλάττειν καὶ ταύτην τιμᾶν καὶ κατ᾿ ἔτος ἑορτάζειν καὶ τὴν ἀνάμνησιν τῶν ἐγκαινίων κατὰ τὸν τύπον αὐτῶν ἐνεργεῖν εἰς εὐχαριστίαν Θεοῦ καὶ τῆς χάριτος ἀνακαινισμὸν ἐπὶ τῷ θείῳ ναῷ καὶ εἰς ἡμῶν τοῦ ἁγιασμοῦ μετάδοσιν, μείζονά τε καὶ συντήρησιν, ὡς καὶ τοῖς παλαιοῖς εἴθιστο καὶ ὡς τὰ Εὐαγγέλια καὶ τὰ Συναξάρια μαρτυροῦσιν.

Ὅπου δὲ ἡ ἀρχαία σεβασμία αὕτη τάξις κρατεῖ, ἐν μὲν τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ συμψάλλονται μετὰ τῆς ἀκολουθίας τῆς ἡμέρας καὶ τὰ τῆς ἀκολουθίας τῶν ἐγκαινίων τοῦ θείου ναοῦ τῆς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως καὶ τὰ τοῦ ἁγίου τοῦ ναοῦ κατὰ τὴν ἐν τῇ ιγ′ Σεπτεμβρίου μηνὸς τάξιν.

Ἐν τῷ ᾀσματικῷ δὲ τρισαγίῳ τῆς δοξολογίας ἐξερχόμενοι, λιτανεύουσι μετὰ τοῦ τιμίου Σταυροῦ καὶ τοῦ ἱεροῦ Εὐαγγελίου, κυκλοῦντες ἅπαξ τὸν ναὸν καὶ ψάλλοντες ἐκ τῶν ἰδιομέλων τῶν στιχηρῶν καὶ τῶν ἀποστίχων τοῦ ἑσπερινοῦ τὰ ἀρκοῦντα ἢ καὶ ἐκ τοῦ κανόνος τῶν ἐγκαινίων ὅσας ᾠδὰς βούλονται.

Ἵστανται δὲ πρὸ τῆς πύλης τοῦ ναοῦ, κεκλεισμένης οὔσης, καὶ ψάλλουσιν εἰς ἦχον βαρὺν τὸ τροπάριον·

Δόξα σοι, Χριστὲ ὁ Θεός,* Ἀποστόλων καύχημα,* μαρτύρων ἀγαλλίαμα,* ὧν τὸ κήρυγμα* Τριὰς ἡ ὁμοούσιος.

Καὶ τοῦ Διακόνου εἰπόντος τὸ Τοῦ Κυρίου δεηθῶμεν *καὶ τοῦ λαοῦ ἀποκριναμένου τὸ* Κύριε, ἐλέησον, *ὁ Ἀρχιερεύς, εἰ πάρεστιν, εἰ δὲ μὴ αὐτὸς ὁ Ἱερεύς, λέγει τὴν εὐχὴν ταύτην·*

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ διὰ τῆς ἁγίας καὶ θεοφόρου σαρκός, ἣν ἐπὶ σωτηρίᾳ καὶ ἀνακλήσει τοῦ τῶν ἀνθρώπων γένους ἐξ ἁγίας παρθενικῆς γαστρὸς αὐτὸς ἐν ἑαυτῷ περιέθεσο, ἐγκαινίσας ἡμῖν τῆς τῶν πρωτοτόκων ἐκκλησίας, τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων, τὴν εἴσοδον, ἔνθα ἦχος ἑορταζόντων καὶ φωνὴ ἀφράστου ἀγαλλιάσεως· αὐτός, φιλάνθρωπε Δέσποτα, ἔπιδε ἐφ᾽ ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου τοὺς τὴν ἀνάμνησιν ἑορτάζοντας τοῦ ἐγκαινισμοῦ ταύτης τῆς ἁγιωτάτης σου Ἐκκλησίας καὶ δι᾽ αὐτῆς τοῦ χοϊκοῦ σκήνους ἡμῶν μετὰ τῶν ψυχῶν, οἱ ναοὶ καὶ μέλη τοῦ Χριστοῦ σου διὰ τοῦ ἁγίου σου ἀποστόλου Παύλου καλεῖσθαι κατηξιώθημεν. Καὶ ταύτην μὲν μέχρι συντελείας τοῦ αἰῶνος ἀσάλευτον μένειν, τῷ παναχράντῳ σου Πνεύματι στηριζομένην καὶ παντοδαπῶς κοσμουμένην ἀνάδειξον· ἡμᾶς δὲ καταξίωσον ἐν αὐτῇ αἰνέσεις καὶ δοξολογίαις ἀκατακρίτως προσάγειν τῇ δόξῃ σοῦ τοῦ

ἀληθινοῦ Θεοῦ καὶ Πατρὸς καὶ τοῦ ἀγαπητοῦ σου Παιδὸς καὶ τοῦ ζωοποιοῦ σου Πνεύματος, ἐν ἐπιγνώσει τῆς ἀληθείας σου πάντας ἡμᾶς ἀξιῶν πολιτεύεσθαι, ἵνα τῇ σῇ ἁγίᾳ τελούμενοι χάριτι, ἀκαταγνώστως δεήσεις ὑπὲρ παντὸς τοῦ λαοῦ σου προσφέρομεν, μερίδα τινὰ λαβεῖν μετὰ τῶν ἁγίων σου τῆς ἐν οὐρανοῖς βασιλείας σου ἱκετεύοντες.

Ἐκφώνως·

Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ πλούσιος ἐν ἐλέει καὶ οἰκτιρμοῖς καὶ χρηστότητι, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ τοῦ Διακόνου αὖθις εἰπόντος τὸ Τοῦ Κυρίου δεηθῶμεν *καὶ πάντων ἀποκριναμένων τὸ* Κύριε, ἐλέησον, *ὁ Ἀρχιερεὺς (ἢ ὁ Ἱερεὺς) ἐπισυνάπτει τὴν εὐχὴν τῆς εἰσόδου·*

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Εἶτα λέγεται (ἢ ψάλλεται) τὸ Ἄρατε πύλας, *ὡς καὶ ἐπὶ τοῖς ἐγκαινίοις (βλέπε σελ. 33-34), καὶ ἀνοιγομένων τῶν πυλῶν, εἰσοδεύουσι ψάλλοντες τὸ ἀπολυτίκιον τῶν ἐγκαινίων εἰς ἦχον β´* Ὡς τοῦ ἄνω στερεώματος *(βλέπε σελ. 35) καὶ τὸ τοῦ ἁγίου τοῦ ναοῦ καὶ τελεῖται συναπτῶς ἡ θεία Λειτουργία, ἐν ᾗ ἀναγινώσκεται Ἀπόστολος καὶ Εὐαγγέλιον τῶν ἐγκαινίων, ψάλλεται δὲ ἀντὶ τοῦ χερουβικοῦ τὸ* Σιγησάτω πᾶσα σὰρξ βροτεία, *ἀντὶ δὲ κοινωνικοῦ τὸ* Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου. Ἀλληλούϊα. *(βλέπε σελ. 64-65).*



ΕΥΧΑΙ

ΕΙΣ ΑΝΑΜΝΗΣΕΙΣ ΕΓΚΑΙΝΙΩΝ

Συμεὼν Ἀρχιεπισκόπου Θεσσαλονίκης

Εὐχὴ

ἐπὶ τοῖς ἐγκαινίοις τοῦ θείου ναοῦ

τοῦ μεγάλου ἐν μάρτυσι Δημητρίου

Ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος παντοκράτωρ, μονογενὲς Υἱὲ Θεοῦ παντοκράτορος, ὁ ἄναρχος ὢν καὶ πρόσφατος γεγονώς, παλαιός τε καὶ νέος, τὸ μὲν τῇ προαιωνίῳ θεότητι, τὸ δὲ τῷ ἐξ ἡμῶν προσλήμματι τῆς σαρκός, ὃ προσελάβου ὑπὲρ ἡμῶν καὶ ναὸν σεαυτῷ ᾠκοδόμησας ἡ ζῶσα Σοφία, καὶ λυθέντα τοῦτον τῷ σῷ θανάτῳ τρισὶν ἡμέραις, ὡς προέφης, ἄφθαρτον ἤγειρας καὶ διὰ τούτου ἀχωρίστως ἑνωθέντος σοι, ἀθανάτους ἡμᾶς καὶ κατὰ χάριν θεοὺς εἰργάσω. Αὐτός, ὑπερούσιε βασιλεῦ, πρόσδεξαι τὴν δέησιν ἡμῶν τῶν ἀχρείων δούλων σου, τὴν ἀνάμνησιν τοῦ ἐγκαινισμοῦ ἐκτελούντων τοῦ πανιέρου τοῦδε ναοῦ τῷ ὀνόματι τοῦ μεγίστου σου μάρτυρος καὶ μυροχεύμονος Δημητρίου τετιμημένου καὶ μεμνημένους τῶν εὐεργεσιῶν σου καὶ

ἀμετρήτων δωρεῶν μὴ παρίδῃς, διότι τοῖς ἔργοις ἀμνημονοῦμεν αὐτῶν καὶ σὲ παροργίζομεν. Ἀλλὰ τὴν ἐπιδημίαν τῆς χάριτός σου καὶ τὴν τοῦ θείου Πνεύματος ἐπιφοίτησιν δοξολογοῦντας καὶ ἑορτάζοντας, τὴν ἐν τῷ θείῳ τούτῳ ναῷ εἰς τύπον τῆς ἐν ἡμῖν ἐπιδημίας τοῦ Πνεύματός σου, πρόσδεξαι συμπαθῶς καὶ ἔμπλησον ἡμᾶς τῆς αὐτοῦ δυνάμεως τε καὶ χάριτος, ἐπεὶ καὶ δι' ἡμᾶς ταύτην ἀποστέλλεις πανταχοῦ, ἐν ἱεροῖς οἴκοις, ἐν ὕδασιν, ἐν πᾶσι στοιχείοις.

Ἣν καὶ ἐξαπόστειλον, Κύριε, καὶ τὸν ἅγιον οἶκον τοῦτον στήριξον ἀπαρασάλευτον μένειν μέχρι συντελείας αἰῶνος, παντοίοις κατακοσμούμενον χαρίσμασί σου καὶ δωρεαῖς ταῖς τοῦ ἀθλοφόρου σου μεσιτείαις. Καὶ ἰάσεων καὶ θαυμασίων σου χορηγίας πλήθυνον ἐν αὐτῷ ὁ μόνος ἰατρὸς καὶ τὰ ἐξαίσια ἐνεργῶν. Τοὺς εἰσιόντας δὲ ἐν τούτῳ πάντας ἱκέτας σου, ἐν ἀδιστάκτῳ καὶ ἀκλινεῖ τῇ πίστει, καὶ μεγαλύνοντάς σε, παράσχου κομίζεσθαι σωτήριον ἅπαν αἴτημα κατὰ ψυχήν τε καὶ σῶμα λυσιτελές. Ἀνάδειξον τοῦτον καὶ διαφύλαξον τὸν ἅγιον οἶκον ἐργαστήριον εἶναι καὶ λιμένα πνευματικόν, ὄργανον θεῖον τῶν ἱερῶν τελετῶν σου, τῆς σῆς δόξης σκήνωμα, τοῦ θείου ὀνόματός σου ἀκαταπαύστως ἐν αὐτῷ δοξολογουμένου, καὶ τοῦ λαοῦ σου παντὸς προσκυνοῦντός σε καὶ λαμβάνοντος τὰ πρὸς σωτηρίαν αἰτήματα.

Δώρησαι καὶ ἡμῖν τὴν παροῦσαν ἑορτάζουσιν ἑορτήν, πᾶσαν παλαιότητα κακίας προθύμως ἀποθεμένοις, νέους ὀφθῆναι ἐνώπιόν σου, ἀνακαισθέντας ὡς ἀετοὺς τῷ θείῳ σου Πνεύματι, ὃ καὶ ἐγκαίνισον ἐν ἡμῖν καὶ μὴ ἀντανέλῃς ἀφ᾽ ἡμῶν. Ἀλλὰ καρδίαν καινὴν καὶ πνεῦμα καινὸν εὐδόκησον κτήσασθαι καὶ πνευματικῶς ὁδεύειν ἐνίσχυσον, τῶν ὄπισθεν ἐπιλήσμονας γεγονότας πρὸς δὲ τὰ ἔμπροσθεν ἐπεκτεινομένους καὶ νηπιάζοντας μὲν τῇ κακίᾳ, τετελειωμένους δὲ τῇ τοῦ ἡγεμονικοῦ Πνεύματός σου φρονήσει καὶ χάριτι. Δι᾽ ἧς καὶ χαρίτωσον ἡμᾶς ἅπαντας ποιμένας ὁμοῦ καὶ ποίμνια καὶ ἄφεσιν ἡμῖν τῶν ἐπταισμένων παράσχου καὶ καθαροὺς ὅλους ἀπεργασάμενος, πλάτυνον ἐν ἡμῖν τὰ ἐπίγεια καὶ τὰ ἐπουράνια ἀγαθά σου, ὡς ἂν καὶ τῷ μέλλοντι συνευφραινόμενοι τοῖς ἁγίοις σου, δοξάζωμέν σε τὸν μεγαλόδωρον εὐεργέτην καὶ δοξολογίαν σοὶ καὶ προσκύνησιν ἀναπέμπωμεν τῷ μονογενεῖ Υἱῷ τοῦ Θεοῦ σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Εὐχὴ
ἐπὶ τοῖς ἐγκαινίοις τοῦ θείου ναοῦ
τῆς Παναγίας Θεοτόκου τῆς Ἀχειροποιήτου

(λέγεται δὲ καὶ πρὸ τῶν πυλῶν τοῦ ναοῦ τῆς Θεοτόκου ἡνίκα μετὰ λιτανείας εἰσέρχεται ὁ Ἀρχιερεύς, ὑπαλλάσσων μικρὸν τὰ περὶ τῶν ἐγκαινίων ῥήματα)

Χαῖρε, κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ, ἡ ἀΐδιος χαρά, ἧς τὴν γῆν πᾶσαν ἔπλησας. Χαῖρε, κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ, ὁ χορηγὸς τῶν χαρίτων, ὃς καὶ πηγήν σε χαρισμάτων ἀνέδειξε, δαψιλευομένην αὐτὰ ἀγγέλοις τε καὶ βροτοῖς. Χαῖρε, κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ, πρότερον μὲν γεγονὼς ἐνυποστάτως ἐν σοί, πάντοτε δὲ ταῖς δωρεαῖς καὶ ἐλλάμψεσιν, ὃς καὶ μεθ' ἡμῶν ἐγένετο διὰ σοῦ, ἑνωθεὶς μὲν καθ' ὑπόστασιν τῷ ἐκ σοῦ προσλήμματι ἀδιαιρέτως καὶ ἀσυγχύτως καὶ τὰς δωρεὰς αὐτοῦ μετοχετεύων ἡμῖν, ἑνούμενος δὲ καὶ διὰ τῶν ἱερῶν πρεσβειῶν σου. Σὲ γὰρ καὶ λαμπάδα φωτὸς ἀκτινοβολοῦσαν τὰ πέρατα καὶ δεξαμενὴν τῶν δωρεῶν καὶ ταμεῖον καὶ θησαύρισμα θεῖον τῶν ἀκηράτων ἀγαθῶν μόνην ἔδειξεν, ἐξ ἧς πᾶν τὸ χρειῶδες ἀφθόνως λαμβάνομεν.

Εὐλογημένη σὺ ἐν γυναιξί, τὸν εὐλογημένον γεννήσασα. Εὐλογημένη σὺ ἐν γυναιξί, τὴν ἀρὰν καὶ λύπην διώξασα. Εὐλογημένη σὺ ἐν γυναιξί, τῆς

αἰωνίου ζωῆς ἡ μήτηρ, ἀθανασίας τοῖς ἀνθρώποις ἡ πρόξενος. Σὺ τὸν νέον εἰργάσω κόσμον· σὺ τὴν φθαρεῖσαν φύσιν ἐκαίνισας· σὺ τὴν παλαιωθεῖσαν ἡμῶν ἀνέπλασας φύσιν· τὸν γὰρ καινουργὸν μόνον τέτοκας, τὸν πλαστουργὸν ὅμοιον ἡμῖν ἔδειξας. Σὲ πλουτοῦμεν ἐλπίδα, σὲ κηδεμόνα, σὲ ἰατρόν, σὲ λιμένα, σὲ ὀφθαλμῶν φῶς, τῆς ἀκοῆς ἥδυσμα, περιλάλημα γλώττης, αἰσθήσεων ἁπασῶν ἀσφάλειαν· σὲ βασιλίδα, σὲ δέσποιναν, σὲ μεσῖτιν, προστάτιν, ἐπίκουρον. Ὑπὲρ γονέας ποθοῦσαν, ὑπὲρ ὃ ψυχὴ βούλεται συνεῖναι τῷ σώματι, ἡμῖν συνεῖναι ἐρῶσαν πρὸς τὸ ζωογονεῖν ἡμᾶς. Ὑπὲρ ὃ τὸ συμφέρον ἡμεῖς ζητοῦμεν ἡμῶν σὲ ζητοῦσαν καὶ σπεύδουσαν, ὡς καὶ μᾶλλον ἡμῶν τὸ συμφέρον ἡμῖν εἰδυῖαν. Σὺ ὄργανον ἡμῖν ἀνακαινισμοῦ καὶ τοῦ τὴν χάριν τοῦ Πνεύματος δέξασθαι. Ἐπὶ σοὶ γὰρ τὸ θεῖον ἐπισκιάσαν Πνεῦμα, χωρῆσαι τὸν ἀχώρητον ἔδειξεν· ὃς γὰρ ἐσκήνωσεν ἐν ἡμῖν, σκηνώσας πρῶτον ἐν σοί, διὰ σοῦ τὴν ἀνάπλασιν ἡμῖν ἀπειργάσατο. Ὅθεν καὶ σὺ πρώτη καὶ μόνη Θεοῦ ναός, θυσιαστήριον ἄμωμον, τράπεζα ἱερά, ἱλαστήριον καθαρὸν καὶ Θεοῦ πανάληθὴς κατοικία, καὶ διὰ σοῦ τὰ ἀγαθὰ ἡμῖν ἐπιδαψιλεύεται αἰσθητῶς, νοητῶς καὶ διηνεκῶς.

Ὅθεν καὶ τῷ θείῳ ναῷ σου νῦν παριστάμενοι σὲ μεγαλύνομεν, τὴν δι᾽ ἧς τὸ ἀγαθὸν ἐλάβομεν Πνεῦμα· σὲ μακαρίζομεν τὴν δι᾽ ἧς Θεοῦ γεγόναμεν

οἶκοι· σὲ γεραίρομεν πόθῳ, τὴν τοῖς ἀγγέλοις ἡμᾶς ἑνώσασαν. Καὶ δεόμεθά σου, γενοῦ καὶ νῦν μεθ' ἡμῶν καὶ τῇ τοῦ ναοῦ σου εἰσόδῳ τοὺς οἰκτιρμοὺς τοῦ Υἱοῦ σου διάνοιξον ἡμῖν, ἡ ἐπουράνιος πύλη, καὶ πᾶν μὲν λυπηρὸν πόρρω ποίησον ἀφ' ἡμῶν, πάσης δὲ χαρᾶς πλήρωσον ἡμᾶς, ἡ τῶν ἀγγέλων χαρά, παντοίων ἐμπιπλῶσα τῶν ἀγαθῶν σου. Ἀλλὰ καὶ τῆς τῶν οὐρανίων εἰσόδου ἀξίους ἡμᾶς ἔργασαι καὶ δὸς κληρονομῆσαι τὰς ἀνωτάτω σκηνὰς καὶ τῆς ἐκκλησίας τῶν πρωτοτόκων συγχορευτὰς γενομένους, τοῦ ὑπερουρανίου θύματος γεύσασθαι, τῆς ἐκεῖσε καταξιωθέντας τραπέζης, καὶ σὲ εὑρηκότας μεσῖτιν καὶ βασιλίδα καὶ χορηγὸν τῶν ἀθανάτων εὐεργετημάτων, τῆς ἀσιγήτου ἐναπολαῦσαι αἰνέσεως καὶ τῆς μὴ παυομένης ἱερουργίας καὶ τῆς ἀκαμάτου λατρείας καὶ τῆς ἀκορέστου τοῦ Θεοῦ κοινωνίας καὶ μετοχῆς, τῆς γλυκυτάτης ἐν ἀπροσίτῳ φωτὶ καὶ καθαρωτάτης. Ἧς καὶ γένοιτο τυχεῖν ἅπαντας ἡμᾶς διὰ σοῦ καὶ ἱερεῖς καὶ βασιλεῖς καὶ πάντα τὸν λαόν σου. Σὺ γὰρ πηγὴ διδασκάλων καὶ ποιμένων καὶ βασιλέων καὶ σὲ εὐλογοῦμεν καὶ μεγαλύνομεν καὶ διὰ σοῦ τὴν εὐχαριστίαν καὶ δόξαν ἀναπέμπομεν τῇ ὑπερουσίῳ Τριάδι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ

ἐπὶ τῇ μνήμῃ τῶν ἐγκαινίων τοῦ θείου ναοῦ τοῦ Θεοῦ Λόγου, τῆς ἁγίας Σοφίας

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν γῆν μὲν κατ᾽ ἀρχὰς θεμελιώσας, ἔργα δὲ τῶν χειρῶν σου δείξας τοὺς οὐρανοὺς καὶ τὴν μὲν ὡς θεμέλιον, τοὺς δὲ ὡς περιτείχισμα καὶ ὄροφον ἐνεργήσας καὶ οἰκίαν θαυμαστὴν ταῦτα κατασκευάσας ἡμῖν, ἃ καὶ ἀπολοῦνται μέν, ὡς γέγραπται, οὐκ ἀφανισθησόμενα, ἀλλ᾽ ἀλλοιωθησόμενα, σὺ δὲ ὑπάρχεις διαμένων, ὁ αὐτὸς γὰρ εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν, ἄναρχος τοῦ Πατρὸς καὶ ἀναλλοίωτος Λόγος, ὃς καὶ ὑπὸ ἀρχὴν ἐνανθρωπήσας καὶ ἀλλοίωσιν γέγονας. Οἶκον γὰρ ᾠκοδόμησας σεαυτῷ, ἣν ἐξ ἡμῶν προσελάβου φύσιν, σῶμα ὁμοῦ μετὰ τῆς ψυχῆς εἰς καινισμὸν τῆς ἡμετέρας φύσεως καὶ ἀνάκλησιν, ἐκ σώματος οὔσης καὶ ψυχῆς, τῆς ψυχῆς μὲν εἰς κοινωνίαν τῶν ἄνω καὶ νοουμένων, τοῦ σώματος δὲ εἰς συγγένειαν τῶν κάτω καὶ χοϊκῶν καὶ διὰ τοῦ ναοῦ σου τοῦ σώματος ἀνυψώσας ἡμᾶς ἀπὸ τῆς γῆς, ἐν τῇ γῇ ἐμπεριπατήσας καὶ ὑπὸ γῆν τῷ θανάτῳ γεγονώς, καὶ οὐρανίους ἀπέδειξας.

Ἤνοιξας γὰρ ἡμῖν τὰς ἄνω εἰσόδους καὶ βατὰ παρέσχες εἶναι τὰ ἐπουράνια, ἐπειδὴ αὐτὸς ἐκεῖσε μετὰ σαρκὸς ἀνῆλθες κἀκεῖσε μένεις ἐκ δεξιῶν τοῦ Πατρός. Ὁ καὶ καταξιώσας τόνδε τὸν ναὸν ὡς ἠθέ-

λησας οἰκοδομηθῆναι εἰς τύπον τοῦ κόσμου παντός, τῶν οὐρανίων ἅμα καὶ ἐπιγείων, εἰς εἰκόνα τε τῆς ἀνθρωπίνης φύσεως, νοητῆς τελούσης καὶ αἰσθητῆς καὶ εἰς παράδειγμα καὶ ἐκμίμημα σοῦ τοῦ τῶν ὅλων δεσπότου, ὃς Θεὸς ὑπάρχει καὶ ἄνθρωπος γέγονας.

Καὶ οὗτος γὰρ ὁ ναὸς τὰ μὲν ἔξω βατὰ παρέχει πᾶσι τοῖς δούλοις σου, τὰ ἔνδον δὲ καὶ μυστικώτερα μόνοις χωρητὰ τοῖς ἱερωσύνῃ κεκοσμημένοις, ἔνθα καὶ ὁ σὸς θρόνος, τὸ φρικτόν σου θυσιαστήριον, ὅπου θυόμενος αὐτὸς τοῦ φωτισμοῦ σου καὶ τῆς ἑνώσεως μετόχους σου ποιεῖς ἡμᾶς μετὰ τῶν ἀγγέλων. Ὁ καὶ σήμερον τὴν τοῦ ζωοποιοῦ σου Πνεύματος χάριν ἐν τούτῳ ἐξαποστείλας καὶ ἀνετέθη ὁ οἶκος οὗτος σοὶ τῷ δεσπότῃ καὶ κατεσκήνωσας ἐν αὐτῷ καὶ τόπον καὶ σκήνωμα καὶ ναόν σου τοῦτον ἀπέδειξας, αὐτὸς πρόσδεξαι ἡμᾶς τὴν ἀνάμνησιν ταύτης σου τῆς χάριτος ποιουμένους καὶ ἐγκαίνισον τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ἐν ἡμῖν· καὶ ἐξαποστείλας αὐτό, φώτισον ἡμᾶς τῇ τούτου ἐπιδημίᾳ καὶ πάσης ἁμαρτίας καθαροὺς γενέσθαι ποίησον καὶ πλουσίαν ἔκχεον τὴν ἐξ ἀρχῆς, ἣν ἐξαπέστειλας χάριν καὶ κατὰ τὸ παρὸν ἐν τῷ πανσέπτῳ τούτῳ ναῷ σου καὶ ἄνοιξον ἡμῖν τοῦ ἄνω θυσιαστηρίου τὴν εἴσοδον, εἰσιοῦσιν ἐν αὐτῷ.

Καὶ ἐξαπόστειλον ἀγγέλους σου συνεορτάζοντας ἡμῖν, συνεισιόντας τε καὶ συνευφραινομένους

ἀπαύστως, ποιῶν αὐτοὺς φύλακας ἡμῶν εἶναι ἀγρύπνους ψυχῆς τε καὶ σώματος καὶ μηδόλως διϊσταμένους, τῷ ναῷ σου δὲ τούτῳ πάντοτε παραμένοντας, ὥστε εὑρίσκειν αὐτοὺς ἡμᾶς εὐμενεῖς, ἀντιλαμβανομένους καὶ τὰς προσευχὰς ἡμῶν σοὶ τῷ Θεῷ ἀναφέροντας.

Τὸν οἶκον δὲ τοῦτον ἀσάλευτον μέχρι συντελείας καὶ ἐνεργῆ διαφύλαξον. Ἔστω τετιμημένος τῇ σῇ κλήσει καὶ λελαμπρυσμένος τῇ δόξῃ σου. Ἰατήριον ὑπαρχέτω καὶ θεραπευτήριον κοινὸν καὶ σωτήριον τοῦ λαοῦ σου διὰ τῶν ἐνεργουμένων ἐν αὐτῷ φρικτῶν τελετῶν καὶ ἱερῶν ὕμνων καὶ θειοτάτων δεήσεων. Μὴ ἀποστῇς τούτου μηδαμῶς δι᾿ ἡμᾶς ἁμαρτάνοντας, ἀλλ᾿ ἔσο κατοικῶν ἐν αὐτῷ μετὰ τῶν οὐρανίων δυνάμεων. Ἡμᾶς τε δι᾿ αὐτοῦ εὐσπλάχνως προσδεχόμενος καὶ ἐλεῶν καὶ οἰκτείρων, τά τε παρόντα χορήγησον καὶ τὰ μέλλοντα ἐξοικονόμησον ἡμῖν ἀγαθά σου καὶ τούτων μετόχους πάντας ἡμᾶς ἀνάδειξον, πρεσβείαις τῆς παναγίας Θεοτόκου, τῶν ἱερωτάτων ἀγγέλων καὶ πάντων σου τῶν ἁγίων. Ἀγαθότητι καὶ ἐλέει τοῦ προαιωνίου Πατρός σου, μεθ᾿ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.


Ο ΑΓΙΟΣ
ΜΆΡΚΟΣ

ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ
ΕΠΙ
ΚΑΘΙΕΡΩΣΕΙ ΑΝΤΙΜΙΝΣΙΩΝ

Ἐνδύεται ὁ Ἀρχιερεὺς ἅπασαν τὴν ἀρχιερατικὴν αὐτοῦ στολὴν καὶ οἱ Ἱερεῖς καὶ Διάκονοι ὁμοίως ἐνδύονται τὰς στολὰς αὐτῶν. Εἶθ' οὕτως ἄρχεται ἡ θεία Λειτουργία.

Καὶ λέγεται ὑπὸ τοῦ Διακόνου ἡ μεγάλη συναπτή, ἐν ᾗ καὶ αἱ αἰτήσεις·

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος) καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν συμπαρόντων αὐτῷ ἱερέων, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ θυσιαστήρια ταῦτα τῇ ἐπιφοιτήσει καὶ δυνάμει καὶ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου δεηθῶμεν.

Μετὰ δὲ τὴν πρώτην μετὰ τοῦ Εὐαγγελίου εἴσοδον ψάλλονται τὰ ἀπολυτίκια, ἐν οἷς προστίθεται καὶ τὸ τῶν ἐγκαινίων·

Ἦχος β'

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν* καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα* τοῦ ἁγίου σκηνώματος τῆς δόξης σου, Κύριε·* κραταίωσον αὐτὸ εἰς αἰῶνα αἰῶνος* καὶ πρόσδεξαι ἡμῶν* τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις,* πρεσβείαις τῆς Θεοτόκου,* ἡ πάντων ζωὴ καὶ ἀνάστασις.

Εἰς τὸ Δόξα καὶ νῦν *τὸ κοντάκιον τῶν ἐγκαινίων·*

Ἦχος δ'. Ἐπεφάνης σήμερον

Οὐρανὸς πολύφωτος* ἡ Ἐκκλησία* ἀνεδείχθη ἅπαντας* φωταγωγοῦσα τοὺς πιστούς·* ἐν ᾧ ἑστῶτες κραυγάζομεν·* Τοῦτον τὸν οἶκον* στερέωσον, Κύριε.

Καὶ ἁπλοῦται ἐπὶ τῆς ἁγίας τραπέζης τὰ μέλλοντα ἁγιασθῆναι ἀντιμίνσια. Λαβὼν δὲ τὸ ἀγγεῖον τῆς οἰνάνθης, ἐπιχέει αὐτοῖς τὸ ἀρκοῦν ὁ Ἀρχιερεύς, λέγων τὸν στίχον τοῦ ν' ψαλμοῦ.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι (ἐκ γ').

Εἶτα ἐκφωνεῖ·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ λαβὼν τὸ ἅγιον μύρον χρίει σταυροειδῶς τὰ ἀντιμίνσια, ποιῶν σταυροῦ τύπον, ἕνα εἰς τὸ μέσον καὶ δύο παρ' ἑκάτερα, τοῦ Διακόνου λέγοντος τρὶς τὸ Πρόσχωμεν *καὶ πάντων ψαλλόντων τρὶς ἐπὶ τρεῖς τὸ* Ἀλληλούϊα, *ὡς ἐπὶ τοῦ ἁγίου βαπτίσματος.*

Καὶ ψάλλουσιν οἱ χοροὶ ἀντιφωνικῶς τὸν ρλβ΄ ψαλμὸν Ἰδού, δή, τί καλὸν ἢ τί τερπνόν ... *(βλέπε σελ. 50) καὶ δοξάζουσι.*

Τότε ἐκφωνεῖ ὁ Ἀρχιερεύς·

Δόξα σοι, ἁγία Τριάς, ὁ Θεὸς ἡμῶν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ τοῦ Διακόνου εἰπόντος τὸ Τοῦ Κυρίου δεηθῶμεν *καὶ τοῦ λαοῦ ἀποκρινομένου τὸ* Κύριε, ἐλέησον, *ὁ Ἀρχιερεὺς εὔχεται οὕτως·*

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τοῦ οὐρανοῦ καὶ τῆς γῆς ποιητής, ὁ τὴν ἁγίαν σου Ἐκκλησίαν ἀρρήτῳ σοφίᾳ θεμελιώσας καὶ ἀντίτυπον τῆς ἀγγελικῆς ἐν οὐρανῷ λειτουργίας τὴν τῆς ἱερωσύνης τάξιν ἐπὶ τῆς γῆς συστησάμενος· σύ, Δέσποτα μεγαλόδωρε, πρόσδεξαι καὶ νῦν δεομένους ἡμᾶς, οὐχ ὡς ἀξίους ὄντας περὶ τηλικούτων αἰτεῖν, ἀλλ' ἵνα τὸ ὑπερβάλλον δειχθῇ τῆς σῆς ἀγαθότητος· οὐ γὰρ ἐπαύσω τὸ ἀνθρώπινον γένος πολυτρόπως εὐεργετῶν, κεφάλαιον δὲ ἡμῖν τῶν σῶν εὐεργεσιῶν ἐδωρήσω τὴν ἐν σαρκὶ τοῦ μονογενοῦς σου Υἱοῦ παρουσίαν.

Ὅς, ἐπὶ γῆς ὀφθεὶς καὶ λάμψας τοῖς ἐν σκότει φῶς σωτηρίας, ἀνήνεγκεν ἑαυτὸν ὑπὲρ ἡμῶν θυσίαν καὶ γέγονε τοῦ κόσμου παντὸς ἱλαστήριον, κοινωνοὺς ἡμᾶς τῆς ἰδίας ἀναστάσεως ποιησάμενος· καὶ ἀναληφθεὶς εἰς τοὺς οὐρανούς, ἐνέδυσε τοὺς ἑαυτοῦ μαθητὰς καὶ ἀποστόλους, καθὼς ἐπηγγείλατο, δύναμιν ἐξ ὕψους, ἥτις ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ προσκυνητὸν καὶ παντοδύναμον, τὸ ἐκ σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον· δι' οὗ γενόμενοι δυνατοὶ ἐν ἔργῳ καὶ λόγῳ, βάπτισμα παρέδωκαν υἱοθεσίας, ἐκκλησίας ἀνέστησαν, ἵδρυσαν θυσιαστήρια, ἱερωσύνης ἔθεντο κανόνας καὶ νόμους· ὧν ἡμεῖς οἱ ἁμαρτωλοὶ κατέχοντες τὴν παράδοσιν, προσπίπτομέν σοι τῷ αἰωνίῳ Θεῷ καὶ δεόμεθά σου, εὔσπλαγχνε·

Τὸν πρὸς τὴν σὴν ὑμνῳδίαν οἰκοδομηθέντα τοῦτον ναὸν τῆς θείας σου πλήρωσον δόξης καὶ τὸ ἐν αὐτῷ παγὲν θυσιαστήριον ἅγιον ἁγίων ἀνάδειξον· ὥστε ἡμᾶς, παρεστῶτας αὐτῷ, ὡς τῷ φρικτῷ τῆς βασιλείας σου θρόνῳ, ἀκατακρίτως λατρεύειν σοι, δεήσεις ὑπὲρ ἡμῶν καὶ τοῦ λαοῦ σου παντὸς ἀναπέμποντας καὶ τὴν ἀναίμακτον θυσίαν τῇ σῇ προσφέροντας ἀγαθότητι, εἰς ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων συγχώρησιν, εἰς κυβέρνησιν βίου, εἰς ἀγαθῆς πολιτείας κατόρθωσιν, εἰς πλήρωσιν πάσης δικαιοσύνης.

Ἐκφώνως·

Ὅτι ηὐλόγηταί σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Καὶ ὁ Ἀρχιερεὺς λέγει τὴν εὐχὴν τῆς κεφαλοκλισίας·

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὅτι, ἣν ἐξέχεας χάριν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους καὶ ἐπὶ τοὺς ὁσίους ἡμῶν πατέρας, ἠξίωσας διὰ τὴν πολλήν σου φιλανθρωπίαν μέχρις ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ἐκτεῖναι. Διὸ δεόμεθά σου, Δέσποτα πολυέλεε· πλήρωσον δόξης καὶ ἁγιασμοῦ καὶ χάριτος τὸ θυσιαστήριόν σου τοῦτο εἰς τὸ μεταποιεῖσθαι τὰς ἐν αὐτῷ προσφερομένας σοι ἀναιμάκτους θυσίας εἰς τὸ ἄχραντον σῶμα καὶ τὸ τίμιον αἷμα τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, πρὸς σωτηρίαν παντὸς τοῦ λαοῦ σου καὶ τῆς ἡμῶν ἀναξιότητος.

Ἐκφώνως·

Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σῴζειν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλουσι κατ᾽ ἀντιφωνίαν τὸν κε´ ψαλμὸν Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην· ... *(βλέπε σελ. 55-56)* *καὶ δοξάζουσι.*

Τοῦ ψαλμοῦ τούτου ψαλλομένου, προσάγονται τὰ μαρτύρικὰ λείψανα. Καὶ λαβὼν ὁ Ἀρχιερεὺς τρεῖς μερίδας χρίει τῷ ἁγίῳ μύρῳ καὶ περικλείει τῇ κηρομαστίχῃ. Καὶ ἐνθέμενος αὐτὰ ὄπισθεν τοῦ ἀντιμινσίου ἐν ἑτοιμασθείσῃ ἐξ ὑφάσματος λινοῦ θήκῃ ἀσφαλίζει καλῶς, προσράπτων ταύτην τῷ ἀντιμινσίῳ. Οὕτω ποιεῖ δι᾽ ἕκαστον ἐξ αὐτῶν. Ἐφαπλοῖ δὲ τὰ ἀντιμίνσια ὁ Ἀρχιερεὺς ἓν πρὸς ἕν, θάτερον θατέρῳ ἐπιτιθέμενος, καὶ ἐπάνω τούτων τίθησι τὸ τοῦ ναοῦ εἱλητὸν καὶ τὸ ἅγιον Εὐαγγέλιον.

Εἶτα λαβὼν θυμιατήριον καὶ θυμίαμα ἐμβαλὼν καὶ εὐλογήσας συνήθως, θυμιᾷ τὰ ἀντιμίνσια καὶ κύκλῳ τὴν ἁγίαν τράπεζαν. Τούτων πάντων γενομένων δοξάζουσιν οἱ ψάλται. Καὶ τοῦ Διακόνου εἰπόντος τὸ Τοῦ Κυρίου δεηθῶμεν *καὶ τοῦ λαοῦ ἀποκριναμένου τὸ* Κύριε, ἐλέησον, *ὁ Ἀρχιερεὺς ἐπιφέρει τὴν εὐχὴν ταύτην·*

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καὶ ταύτην τὴν δόξαν τοῖς ὑπὲρ σοῦ ἀθλήσασιν ἁγίοις μάρτυσι δωρησάμενος, τὸ σπείρεσθαι ἐν πάσῃ τῇ γῇ τὰ λείψανα αὐτῶν ἐν τοῖς ἁγίοις οἴκοις σου καὶ καρποὺς ἰαμάτων βλαστάνειν· αὐτός, Δέσποτα, ὁ πάντων τῶν ἀγαθῶν

χορηγὸς ὑπάρχων, πρεσβείαις τῶν ἁγίων (δεῖνων), ὧν εὐδόκησας τὴν ἀπόθεσιν τῶν λειψάνων ἐν τούτῳ τῷ σεπτῷ οἴκῳ γενέσθαι, ἀξίωσον ἡμᾶς ἀκατακρίτως τὴν ἀναίμακτόν σοι προσενεγκεῖν ἐν αὐτῷ θυσίαν· καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, ἀντάμειψιν παρέχων καὶ ἐν τούτῳ τοῖς ἀθλήσασιν ὑπὲρ τοῦ ἁγίου ὀνόματός σου, τὸ θαυματουργεῖν δι' αὐτῶν πρὸς ἡμετέραν σωτηρίαν.

Ἐκφώνως·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ αὖθις ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἀρχιερεὺς ἐκφωνεῖ·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ

Ὁ Διάκονος· καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλεται τὸ τρισάγιον ὡς ἔθος, τοῦ Ἀρχιερέως λέγοντος τὴν εὐχὴν τοῦ τρισαγίου.

Εἶτα Ἀπόστολος καὶ Εὐαγγέλιον τῶν ἐγκαινίων καὶ τὰ λοιπὰ τῆς θείας Λειτουργίας.

Κοινωνικόν· Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου. Ἀλληλούϊα.

Ἰστέον ὅτι τὰ ἀντιμίνσια παραμένουσιν ἐπὶ τῆς ἁγίας τραπέζης ἐπὶ ἡμέρας ἑπτὰ καὶ τελεῖται ἐπ' αὐτῶν ἡ θεία Λειτουργία καθ' ἑκάστην. Μετὰ τὴν ἑβδόμην δὲ ἡμέραν αἴρονται.

Εὐχὴ ἑτέρα
εἰς ἀντιμίνσια

(λεγομένη ἀντὶ τῆς εὐχῆς Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τοῦ οὐρανοῦ καὶ τῆς γῆς ποιητής*)*

Ὁ πάσης φύσεως Δεσπότης καὶ κτίσεως ἁπάσης δημιουργός, ὁ πάντα ποιῶν πάντοτε καὶ πραγματευόμενος ἐπ' εὐεργεσίᾳ καὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων· ὁ θεμελιώσας τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς καὶ ποιῶν θαυμάσια. Σύ, Δέσποτα, κατὰ πᾶσαν πόλιν καὶ χώραν ἱδρύσας τὰς Ἐκκλησίας σου, πήξας ἐν αὐταῖς θυσιαστήρια καὶ προσφορὰς λογικὰς καὶ ἀναιμάκτους προσφέρεσθαι τῷ ὀνόματί σου ἐκέλευσας εἰς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων. Αὐτὸς καὶ νῦν, Δέσποτα, ἐξαπόστειλον τὸ Πνεῦμά σου τὸ ἅγιον καὶ ἁγίασον τὰ θυσιαστήρια ταῦτα, εἰς ἐλπίδα πίστεως καὶ σωτηρίαν παντὶ προσιόντι τῇ σῇ μεγαλότητι, εἰς ἀνανέωσιν ψυχῆς καὶ σώματος εὐαρέστησιν.

Ἐκφώνως·

Ὅτι εὐλογημένον καὶ δεδοξασμένον ὑπάρχει τὸ πανύμνητον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὐχὴ ἑτέρα
τῆς κεφαλοκλισίας εἰς ἀντιμίνσια

(λεγομένη ἀντὶ τῆς εὐχῆς Εὐχαριστοῦμέν σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι ἣν ἐξέχεας χάριν)

Κύριε παντοκράτορ, ὁ μέγας καὶ ἰσχυρὸς καὶ δυνατός, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ καὶ δοξαζόμενος ὑπὸ τῶν Σεραφίμ, ὃν ἀδιαλείπτως ὑμνοῦσιν ἄγγελοι, ἀρχάγγελοι καὶ πᾶσαι αἱ ὑπερκόσμιαι δυνάμεις ἐν ἡσυχίᾳ πολλῇ καὶ εὐταξίᾳ. Δεόμεθά σου, Θεὲ παντοκράτορ, παντοδύναμε, δέξαι ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν καὶ εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχὴ ἡμῶν τῶν ταπεινῶν καὶ παράκλησις ἡμῶν τῶν ἀναξίων δούλων σου καὶ ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου ἐπὶ τὸ ἅγιον θυσιαστήριόν σου τοῦτο, τὸ χριόμενον τῷ μύρῳ τῶν πιστῶν σου, ἐν ᾧ ἔχρισας ἱερεῖς καὶ προφήτας, βασιλεῖς καὶ ἀποστόλους καὶ πᾶσαν ψυχὴν πιστήν, καὶ ἁγίασον αὐτό, ὁ ἁγιάσας θυσιαστήριον ἐν ὄρει Σινᾶ ἐπὶ Μωϋσέως καὶ Ἀαρὼν χαρίτωσον

αὐτὸ τῇ σῇ δυνάμει καὶ κατάπεμψον αὐτῷ τὴν χάριν τοῦ ἁγίου καὶ ζωοποιοῦ Πνεύματος τοῦ Χριστοῦ σου καὶ χάρισαι ἡμῖν ἔλεος καὶ μέρος καὶ κλῆρον μετὰ πάντων τῶν ἁγίων σου.

Ἐκφώνως·

Χάριτι τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὐχὴ τρίτη
εἰς ἀντιμίνσια

(λεγομένη ἀντὶ τῆς εὐχῆς Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καὶ ταύτην τὴν δόξαν)

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῶν Ἀποστόλων σου φωταγωγήσας ἡμᾶς καὶ ὁδηγήσας εἰς τὴν ἁγίαν ταύτην καὶ σωτήριον ἡμέραν τῆς οἰκονομίας τῶν ἁγίων σου θυσιαστηρίων, πάντα ἁγίασον εἰς τὸ γενέσθαι τοῖς προσιοῦσι τοῦτο τὸ τελειωθὲν θυσιαστήριον, λυτήριον παντὸς κακοῦ, ἀρραβῶνα ζωῆς, κληρονομίαν τοῦ μέλλοντος αἰῶνος κατὰ τοὺς ἀναξίους τοὺς προωρισμένους εἰς διακονίαν καὶ ἁγίαν σου ἱερουργίαν καὶ ἱλασμὸν καὶ σωτηρίαν τοῦ λαοῦ σου.

Ἐκφώνως·

Ὅτι Θεὸς εἰρήνης καὶ σωτηρίας ὑπάρχεις καὶ σοὶ πρέπει ἡ δόξα, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.



ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ

ΕΠΙ

ΣΑΛΕΥΘΕΙΣῌ ΑΓΙᾼ ΤΡΑΠΕΖῌ

Ἐπὶ σαλευθείσης ἁγίας τραπέζης γίνεται ἡ ἀκόλουθος τάξις.

Προσέρχεται ὁ Ἀρχιερεὺς καὶ ἐνδύεται ἅπασαν τὴν ἀρχιερατικὴν αὐτοῦ στολήν. Καὶ οἱ Ἱερεῖς καὶ οἱ Διάκονοι ἐνδύονται ὁμοίως τὰς στολὰς αὐτῶν. Εἶθ' οὕτως ἄρχεται ἡ θεία λειτουργία κατὰ τὴν τάξιν.

Μετὰ δὲ τὴν πρώτην μετὰ τοῦ ἱεροῦ Εὐαγγελίου εἴσοδον ψάλλονται τὰ ἀπολυτίκια τῆς ἡμέρας καὶ μετ' αὐτὰ τῶν ἐγκαινίων εἰς ἦχον β' Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν *(βλέπε σελ. 35), εἰς τὸ* Δόξα καὶ νῦν *τὸ κοντάκιον, ἦχος δ' πρὸς τὸ* Ἐπεφάνης σήμερον· Οὐρανὸς πολύφωτος ἡ Ἐκκλησία *(βλέπε σελ. 125).*

Καὶ λέγει ὁ Ἀρχιερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ἄρχονται ψάλλειν κατ' ἀντιφωνίαν οἱ χοροὶ τὸν ψαλμὸν ρμδ' Ὑψώσω σε, ὁ Θεός μου, ὁ Βασιλεύς μου *(βλέπε σελ. 37-39). Καὶ ἐπισυνάπτουσι τὸν ψαλμὸν κβ'* Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει *(βλέπε σελ. 39-40).*

Τῶν ψαλμῶν τούτων ψαλλομένων προσφέρεται τῷ Ἀρχιερεῖ κηρομαστίχη ζέουσα καὶ λαβὼν ἐξ αὐτῆς ἐπιχέει τὸ ἀρκοῦν ἐπὶ τοῦ κίονος ἢ τῶν κιόνων ἢ τοῦ βωμοῦ. Καὶ μικρὸν ψυχρανθείσης ὁ Ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ ἐπιλαβόμενοι τῆς πλακός, τιθέασιν ἐπὶ τοῦ κίονος καὶ καταπιέζουσιν, ὥστε αὐτὴν ἑδρασθῆναι καλῶς καὶ μὴ σαλεύεσθαι. Εἶτα ἀμφιάζουσι τὴν ἁγίαν τράπεζαν καὶ τιθέασιν ἐπ' αὐτῆς τὸ εἰλητὸν καὶ τὸ ἱερὸν Εὐαγγέλιον. Λαβὼν δ' ὁ Ἀρχιερεὺς τὸν θυμιατὸν καὶ θυμίαμα ἐμβαλὼν καὶ εὐλογήσας συνήθως, θυμιᾷ κύκλῳ τὴν ἁγίαν τράπεζαν. Καὶ τούτων πάντων γενομένων, δοξάζουσιν οἱ ψάλται καὶ λέγει ὁ Διάκονος τὴν συναπτήν·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν ...

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας ...

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου ...

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος) καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ καὶ τῶν συμπαρόντων ἱερέων καὶ διακόνων τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸν οἶκον τοῦτον καὶ τὴν ἐν αὐτῷ θείαν τράπεζαν καθιδρυθῆναι τῇ ἐπιφοιτήσει, δυνάμει καὶ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως ...

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ...

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον ...

Τῆς Παναγίας, ἀχράντου ...

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Καὶ ὁ Ἀρχιερεὺς λέγει τὴν

Εὐχὴν

ἐπὶ σαλευθείσῃ ἁγίᾳ τραπέζῃ

Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, τῷ τὴν σὴν χάριν ἐκχέαντι ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους καὶ τοὺς ὁσίους ἡμῶν πατέρας, ὅτι ἠξίωσας διὰ τὴν πολλήν σου φιλανθρωπίαν καὶ μέχρις ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ἐκτεῖναι. Καὶ δεόμεθά σου, Δέσποτα πολυέλεε· Πλήρωσον δόξης καὶ ἁγιασμοῦ καὶ χάριτος τὸ θυσιαστήριον τοῦτο εἰς τὸ μεταποιεῖσθαι τὰς ἐν αὐτῷ προσφερομένας σοι ἀναιμάκτους θυσίας τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πρὸς σωτηρίαν παντὸς τοῦ λαοῦ σου καὶ τῆς ἡμῶν ἀναξιότητος.

Ἐκφώνως·

Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ αὖθις ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ Ἀρχιερεὺς ἐκφωνεῖ·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ

Ὁ Διάκονος· **καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**


Ὁ χορός· Ἀμήν.

Καὶ τοῦ Ἀρχιερέως λέγοντος τὴν εὐχὴν τοῦ τρισαγίου, ψάλλεται τὸ τρισάγιον, ὡς ἔθος.

Καὶ εὐθὺς τὰ ἀναγνώσματα, ἐν οἷς καὶ ὁ Ἀπόστολος τοῦ ἁγίου τοῦ ναοῦ καὶ τὸ Εὐαγγέλιον τῶν ἐγκαινίων *(βλέπε σελ.* **63-64***).*

Καὶ τελεῖται ἡ θεία Λειτουργία, ὡς σύνηθες.

Κοινωνικόν· Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. Ἀλληλούϊα.



ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ

ΕΝ ΤΗ ΕΚΠΛΥΣΕΙ ΤΗΣ ΑΓΙΑΣ ΤΡΑΠΕΖΗΣ

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ, μετὰ τὸ ψαλῆναι τὰς ὥρας, προσέρχεται ὁ Ἀρχιερεὺς καὶ ἐνδύεται τὴν ἱερὰν αὐτοῦ στολήν. Καὶ στὰς ἐνώπιον τῆς ἁγίας τραπέζης μετὰ τῶν Ἱερέων καὶ Διακόνων, φορούντων καὶ αὐτῶν τὰ ἄμφια αὐτῶν, λαβὼν θυμιατήριον καὶ θυμίαμα βαλὼν καὶ εὐλογήσας συνήθως, θυμιᾷ κύκλῳ τὴν ἁγίαν τράπεζαν καὶ ἀποτιθεὶς τὸν θυμιατόν, λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης· Ἀμήν.

Εἶτα τὸ Τρισάγιον, Παναγία Τριάς ..., Πάτερ ἡμῶν ...

Ὁ Ἀρχιερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία ...

Ὁ χορός· Ἀμήν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Καὶ ὁ Ἀρχιερεὺς λέγει τὴν

εὐχὴν

τῆς ἀπαμφιάσεως

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ ζωοποιῷ σου θανάτῳ τὸν θάνατον νεκρώσας, καὶ ἡμᾶς τῶν παθῶν τῆς ἁμαρτίας ἀναστήσας, αὐτός, καὶ νῦν κυκλοῦντας ἡμᾶς τοῦ σωτηρίου τάφου τὸν τύπον καὶ διὰ τῆς ὀφειλομένης ἱερᾶς ὑπηρεσίας τὸν πόθον ἀφοσιουμένους, πρόσδεξαι, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου καὶ τοῦ μυστικοῦ δείπνου κοινωνοὺς λαβεῖν καταξίωσον καὶ μετόχους τῆς ἐπουρανίου βασιλείας ἀξίωσον καὶ τῆς τῶν ἀγαθῶν ἀπολαύσεως καὶ τῆς ἀθανάτου δόξης.

Ἐκφώνως·

Ὅτι παρὰ σοί ἐστιν ἡ πηγὴ τῆς ζωῆς καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλουσι κατ᾽ ἀντιφωνίαν ἐν συντριβῇ καὶ ἀνετῶς τὸν ν΄ ψαλμόν, ἤτοι τὸ Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου ... *Εἶτα ψάλλουσι τὸν κε΄ ψαλμόν·* Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην ... *(βλέπε σελ. 55-56) καὶ ἐπισυνάπτουσι τὸν πγ΄ ψαλμόν·* Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων ... *(βλέπε σελ. 47-48) καὶ εἶτα δοξάζουσι.*

Ψαλλομένων τῶν ψαλμῶν τούτων, ἀπαμφιάζει ὁ Ἀρχιερεὺς τὴν ἁγίαν τράπεζαν, συναντιλαμβανομένων αὐτῷ καὶ τῶν Πρεσβυτέρων καὶ Διακόνων, καὶ βάλλουσι τὰ ἐφθαρμένα ἄμφια ἐν ἀγγείοις καινοῖς. Εἶτα κομίζονται σπόγγοι καινοὶ καὶ ἐγχείρια καινὰ καὶ ἀποσπογγίζεται ἡ ἁγία τράπεζα. Φέρεται δὲ καὶ θερμάριον μεθ' ὕδατος χλιαροῦ καί, εὐλογῶν αὐτὸ ὁ Ἀρχιερεύς, ἐπιχέει τὸ ἀρκοῦν ἐπὶ τῆς ἁγίας τραπέζης. Μεθ' ὃ καταπλύνουσιν αὐτὴν καὶ σπογγίζουσιν. Εἶτα ἐπιχέεται τῇ ἁγίᾳ τραπέζῃ ῥοδόσταγμα καὶ ἐκμάσσεται καλῶς διὰ τῶν σπόγγων καὶ τῶν ἐγχειρίων. Εἶθ' οὕτως ἐνδύουσι τὴν ἁγίαν τράπεζαν διὰ τοῦ κατασαρκίου καὶ περιδένουσιν αὐτό, εἶτα δ' ἐφαπλοῦσι τὴν ἐνδυτὴν καὶ τιθέασιν ἐπ' αὐτῆς τὸ εἰλητὸν καὶ τὸ ἱερὸν Εὐαγγέλιον.

Τούτων πάντων γενομένων δοξάζουσιν οἱ ψάλται καὶ λέγει

ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Καὶ ὁ Ἀρχιερεὺς λέγει τὴν εὐχὴν ταύτην·

Ὁ ἐλεήμων καὶ οἰκτίρμων Θεός, ὁ δι' ἄφατον ἀγαθότητα πρὸς λειτουργίαν τοῦ παναγίου καὶ ἀχράντου σου θυσιαστηρίου τὴν ἡμῶν ἀχρειότητα προσλαβόμενος, αὐτὸς καὶ νῦν ἐπίβλεψον ἐφ' ἡμᾶς ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σου καὶ καταξίωσον δεκτὴν γενέσθαι τὴν διακονίαν ἡμῶν τῶν ἀχρείων, ἣν ἐπὶ τῇ ἁγίᾳ σου τραπέζῃ ἐπιτελοῦμεν σήμερον, μετὰ φόβου καὶ τρόμου παρεστῶτες αὐτῇ, καὶ κάθαρον ἡμᾶς διὰ τῆς ἐπιτελεσθείσης ἐν αὐτῇ ἀχράντου πλύσεως, ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύμα-

τος, ἀνακαθαίρων ἡμῶν πάσας τὰς αἰσθήσεις τῆς ῥυπώδους ἁμαρτίας καὶ παριστῶν ἡμᾶς ἀμώμους καὶ ἀσπίλους τῇ φρικτῇ καὶ θείᾳ ἱερουργίᾳ τοῦ ζωοποιοῦ αἵματος καὶ τοῦ σώματός σου, τοῦ ὑπὲρ τῆς ἡμῶν ἀφθαρσίας ἐν τάφῳ κατατεθέντος καὶ μετὰ δόξης ἀναστάντος τῇ τρίτῃ ἡμέρᾳ καὶ πηγὴν ἀκενώτου ζωῆς καὶ ἀφθαρσίας τὸν πανάγιον τάφον ἡμῖν ἀποτελέσαντος· ἐν αὐτῷ γὰρ τοῦ θανάτου καταπατηθέντος καὶ τοῦ κέντρου αὐτοῦ τῆς ἁμαρτίας ἐξαφανισθέντος ὑπὸ τῆς σῆς θεϊκῆς ἐξουσίας καὶ δυνάμεως, συνεζωοποιήθημεν καὶ συνανέστημέν σοι, δοξάζοντές σε τὴν ἀπαρχὴν τῆς ἡμῶν ἀναστάσεως, τὸν ὑπὲρ ἡμῶν σταυρωθέντα καὶ ταφέντα καὶ ἀναστάντα.

Ἐκφώνως·

Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ἡ ἀνάστασις καὶ ἡ σωτηρία, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Εἶτα ὁ Ἀρχιερεὺς θυμιᾷ κύκλῳ τὴν ἁγίαν τράπεζαν, ποιεῖ ἀπόλυσιν καὶ διανέμει τοὺς σπόγγους τῷ λαῷ.

Εὐθὺς δ' ἄρχεται [ὁ ἱερὸς νιπτὴρ καὶ ἐν συνεχείᾳ τελεῖται] ὁ ἑσπερινὸς καὶ ἡ θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου.

ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ


ΕΠΙ ΑΓΙᾼ ΤΡΑΠΕΖῌ

ΗΣ ΤΑ ΑΜΦΙΑ ΔΙΕΦΘΑΡΗΣΑΝ

Ἐπὶ ἁγίᾳ τραπέζῃ, ἧς τὰ ἄμφια παλαιωθέντα διεφθάρησαν, ἡ τάξις γίνεται οὕτω·

Προσέρχεται ὁ Ἀρχιερεὺς καὶ ἐνδύεται πᾶσαν τὴν στολὴν αὐτοῦ, συνόντων αὐτῷ καὶ Πρεσβυτέρων καὶ Διακόνων. Καὶ πρῶτον θυμιᾷ κύκλῳ τὴν ἁγίαν τράπεζαν καί, εὐλογήσαντος τὸν Θεόν, λέγεται ὑπὸ τοῦ Ἀναγνώστου Τρισάγιον, ὑπὸ δὲ τοῦ Ἀρχιερέως ἀναγινώσκεται ἡ εὐχὴ εἰς τὴν ἀπαμφίασιν, ὡς ἐν τῇ προλαβούσῃ ἀκολουθίᾳ τῆς ἐκπλύσεως τῆς ἁγίας τραπέζης τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ διείληπται.

Ψαλλομένων δὲ τῶν ψαλμῶν ν', κέ καὶ πγ', περισυνάγει ὁ Ἀρχιερεύς, συνεργούντων αὐτῷ καὶ τῶν Ἱερέων καὶ Διακόνων, τὰ ἐπικείμενα τῇ ἁγίᾳ τραπέζῃ, εἴτε παλαιὰ ἄμφια εἴτε κονιορτόν, καὶ βάλλουσι ταῦτα ἐν ἀγγείοις καινοῖς. Μεθ' ὃ γίνεται ἡ ἔκπλυσις καὶ ἡ ἀμφίασις κατὰ τὸν τύπον τὸν γινόμενον τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ, ὡς ἀνωτέρω, ἤδη, ἐγράφη. Κατ' αὐτὴν δὲ τὴν ἡμέραν γίνεται καὶ λειτουργία παρὰ τοῦ Ἀρχιερέως.



ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ
ΕΠΙ
ΒΕΒΗΛΩΣΕΙ ΝΑΟΥ

Τελεῖται πρὸ τῶν πυλῶν τοῦ ναοῦ ὁ ἁγιασμὸς τῆς ἀρχιμηνίας. Μετὰ δὲ τὴν εὐχὴν τῆς κεφαλοκλισίας Κλῖνον, Κύριε, τὸ οὖς σου ... *λέγει ὁ Ἱερεὺς μίαν τῶν κατωτέρω εὐχῶν, κατὰ περίστασιν. Εἶτα τὸ* Σῶσον, Κύριε, τὸν λαόν σου ... *καὶ ῥαντίζει τὸν ναὸν διὰ τοῦ ἁγιάσματος. Εἶθ' οὕτως τελεῖται ἡ θεία Λειτουργία.*

Εὐχὴ
ἐπὶ ἀνοίξει ναοῦ ἐν ᾧ συνέβη θανεῖν ἄνθρωπον βιαίως ἢ ἑτέρῳ τρόπῳ μολυνθῆναι αὐτὸν

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὴν πολλήν σου καὶ ἄφατον ἀγαθότητα καταξιώσας ὀνομασθῆναι τὸν ναὸν τοῦτον σκήνωμα τῆς σῆς ἀπροσίτου καὶ ἀπεριγράπτου δόξης καὶ διὰ τῆς τοῦ παναγίου καὶ ζωοποιοῦ σου Πνεύματος ἐνεργείας ἁγιασθῆναι· νῦν δέ, διὰ τὴν τῶν ἡμετέρων ἁμαρτημάτων πληθύν, παραχωρήσας μολυνθῆναι τοῦτον οἱῳδήποτε τρόπῳ ἐξ ἐπηρείας τοῦ ἀντικειμένου, αὐτὸς πάλιν, διὰ τὸ πολὺ καὶ ἀμέτρητον ἔλεός σου, τὴν ἡμῶν

τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου αἴτησιν προσδεχόμενος, ἐξ εἰλικρινοῦς προσαγομένην σοι πίστεως, καθάρισον τὸν οἶκον τοῦτον, καὶ τὸ ἐν αὐτῷ θυσιαστήριον, διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου σου Πνεύματος· καὶ τὴν προτέραν αὐτῷ χάριν ἐγκαίνισον, εἰς δοξολογίαν ἀπρόσκοπον, εἰς προσφορὰν εὐπρόσδεκτον τῆς ἀναιμάκτου θυσίας, εἰς δόξαν καὶ ἔπαινον τῆς σῆς ἀγαθότητος. Ναί, Δέσποτα τῶν ἁπάντων, ὁ μόνος φύσει καθαρὸς καὶ πανάγιος, ὁ ἁγιάζων πάντα τῷ λόγῳ σου καὶ ἡμᾶς τοὺς ἐν ὅλῃ καρδίᾳ ζητοῦντάς σε καθάρισον ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, διαλογισμῶν ἀμφιβόλων, καὶ συνειδήσεως ἐξεταζούσης.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ

ἐπὶ ἀνοίξει ναοῦ βεβηλωθέντος ὑπὸ ἐθνικῶν ἢ αἱρετικῶν

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τὸν ναὸν τοῦτον ἀναδείξας εἰς κατοικητήριον σόν, διὰ τῆς ἐπιφοιτήσεως τοῦ ζωοποιοῦ σου Πνεύματος ἐν τῷ τιμίῳ χρίσματι τῷ ἁγιάσαντι προφήτας καὶ ἀποστόλους· εἶτα διὰ τὰς ἁμαρτίας ἡμῶν βεβηλωθῆναι συγχωρήσας αὐτόν, καὶ τὸ πανάμωμόν σου χρανθῆναι θυσιαστήριον, αὐτός, πάλιν ἱλέῳ προσδεχόμενος ἡμᾶς ὄμματι, μετὰ πίστεως προσερχομένους εἰλικρινοῦς, καὶ τὰς ἡμετέρας ἐξομολογουμένους ἁμαρτίας ἐν ἐπιγνώσει καὶ μετανοίᾳ, θυσίας τε καθαρὰς καὶ ἀναιμάκτους ἀναφέρειν ἐν τούτῳ σοι θέλοντας, ἀπόσμηξον αὐτὸν τῆς ἐπιτριβείσης κηλῖδος καὶ τῆς προτέρας ἔμπλεων ἀνάδειξον καθαρότητος, ὡς μόνος ὢν αὐτοκαθαρότης καὶ οὐσιώδης ἁγιωσύνη, μόνος τε δυνάμενος ἁγιάζειν τοὺς ἐπιστρέφοντας καρδίαν ἐπὶ σέ, καὶ καθαρίζειν ὁλοτελῶς ἡμᾶς ἀπὸ συνειδήσεως πονηρᾶς καὶ παντὸς ἐνδοιασμοῦ καὶ ἀμφιβολίας.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἑτέρα

ἐπὶ ἀνοίξει ναοῦ βεβηλωθέντος ὑπὸ αἱρετικῶν

Ταρασίου Πατριάρχου Κωνσταντινουπόλεως

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, σὲ δυσωποῦμεν τὸν ἵλεων καὶ εὐμενῆ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν· Εἰσάκουσον τῆς δεήσεως τῶν δούλων σου καὶ εἴ τις ἐξ αἱρετικῆς ἐγχειρίσεως προσετρίβη λώβησις τῷ ἁγίῳ σου θυσιαστηρίῳ περίελε αὐτήν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος· ὅπως ἀκατακρίτως παριστάμενοι κατενώπιον τῆς ἁγίας δόξης σου λειτουργεῖν ἐν αὐτῷ καὶ προσφέρειν σοι τὰς ἀναιμάκτους θυσίας τῆς ἀληθινῆς ἡμῶν λατρείας καταξιωθῶμεν καὶ τυχεῖν τῶν αἰωνίων ἀγαθῶν, ἃ ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ
ἐπὶ λύσεως ναοῦ ὑπὸ αἱρέσεως μιανθέντος
Ταρασίου Πατριάρχου Κωνσταντινουπόλεως

Κύριε ὁ Θεὸς ἡμῶν, δυσωποῦμέν σε τὸν ἵλεων καὶ εὐμενῆ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, τῷ τὴν Ἐκκλησίαν διὰ τῶν ἁγίων Ἀποστόλων παραστήσαντι καθαρὰν καὶ ἄμωμον, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα, πρὸς τὸ πάντας τοὺς προσερχομένους μεταλαμβάνειν τοῦ ταύτης ἁγιασμοῦ καὶ εὐπροσδέκτους τὰς δεήσεις ἡμῶν καὶ τὰς προσευχὰς καὶ τὰς θυσίας γενέσθαι ἐν τοῖς καθιδρυμένοις ἐν αὐτῇ ναοῖς. Καὶ νῦν, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου, καὶ τὴν ἐξ αἱρετικῆς ἐγχειρίσεως ἐπιτριβεῖσαν αὐτῇ καὶ τῷ ἁγίῳ αὐτῆς θυσιαστηρίῳ μώμησιν, περίελε τῇ χάριτι τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ ἧς παντὸς ῥύπου ἐλυτρώθη τὸ ἀνθρώπινον γένος καὶ καθηγιάσθη τῇ αὐτοῦ πρὸς ἡμᾶς κενώσει· δι᾽ ἧς καὶ υἱοθεσίας ἠξιώμεθα διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος.

Ἐκφώνως·

Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἑτέρα

λεγομένη ἔμπροσθεν τῆς ἁγίας Τραπέζης

Ταρασίου Πατριάρχου Κωνσταντινουπόλεως

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, δυσωποῦμέν σε τὸν ἵλεων καὶ εὐμενῆ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν· Εἰσάκουσον τῆς δεήσεως τῶν δούλων σου καὶ εἴ τις ἐξ αἱρετικῆς ἐγχειρίσεως ἐπετρίβη μώμησις τῷ ἁγίῳ σου θυσιαστηρίῳ, περίελε ταύτην τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ παναγίου σου Πνεύματος· καὶ καταξίωσον ἡμᾶς τοὺς ἀναξίους δούλους σου ἀκατακρίτως προσφέρειν σοι ἐν αὐτῷ τὰς ἀναιμάκτους καὶ λογικὰς θυσίας καὶ λατρείας ἡμῶν· πρεσβείαις τῆς ἀειπαρθένου Θεομήτορος καὶ πάντων τῶν ἁγίων.

Ἐκφώνως·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ
λεγομένη ἄνωθεν τῆς ἁγίας Τραπέζης
ἐν ῇ ἐλειτούργησαν οἱ αἱρετικοὶ

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ τοῦ ζωοποιοῦ σου Πνεύματος δυνάμει καὶ ἐνεργείᾳ θέμενος ἡμᾶς ἐν τῇ διακονίᾳ ταύτῃ, εὐδόκησον δή, Κύριε, τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης καὶ λειτουργοὺς τῶν ἁγίων σου μυστηρίων. Πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα γενώμεθα ἄξιοι προσφέρειν σοι τὴν λογικὴν ταύτην λατρείαν ἐπὶ ταύτῃ τῇ ἁγίᾳ σου τραπέζῃ, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων καὶ ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

Ἐκφώνως·

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.


Ο ΑΓΙΟΣ
ΛΟΥΚΑΣ

ΠΑΡΑΡΤΗΜΑ


ΜΡ
ΘΥ
ΙϹ ΧϹ

ΑΚΟΛΟΥΘΙΑ
ΤΩΝ ΕΓΚΑΙΝΙΩΝ

Εἰς τὸν Ἑσπερινὸν

Ἡ παροῦσα ἀκολουθία τῶν ἐγκαινίων τοῦ σεβασμίου ἐν Ἱεροσολύμοις ναοῦ τῆς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως, ψαλλομένη ἐπὶ τῇ ἀναμνήσει αὐτῶν τῇ ιγ΄ Σεπτεμβρίου, ὡς ἐν τῷ Μηναίῳ κατακεχώρισται, ψάλλεται κατ᾿ ἐπέκτασιν καὶ εἰς τὰ ἐγκαίνια παντὸς θείου ναοῦ καὶ κατὰ τὴν κατ᾿ ἔτος ἀνάμνησιν τῶν ἐγκαινίων αὐτοῦ, εἰ τοιαύτη τάξις κρατεῖ.

Εἰ δὲ τὰ ἐγκαίνια τελοῦνται ἐν Κυριακῇ ἢ Δεσποτικῇ ἑορτῇ προψάλλονται τὰ ἀναστάσιμα ἢ τὰ τῆς ἑορτῆς. Συμψάλλεται δὲ καὶ ἡ ἀκολουθία τοῦ ἁγίου ἐπ᾿ ὀνόματι τοῦ ὁποίου τιμᾶται ὁ μέλλων ἐγκαινίζεσθαι ναός. Εἰ δὲ τύχει μέγας ἑορταζόμενος ἅγιος τῇ ἡμέρᾳ ἐκείνῃ, συμψάλλεται καὶ τούτου ἡ ἀκολουθία, εἰ δὲ μή, ἀναγινώσκεται ἐν τοῖς ἀποδείπνοις.

Ἰστέον δὲ ὅτι ὁ ἑσπερινὸς καὶ ὁ ὄρθρος τελοῦνται ἐν πλησίον που εὑρισκομένῳ παλαιῷ ναῷ, ὅπου καὶ ὁ καταμερισμὸς τῶν ἁγίων λειψάνων ἐγένετο, καὶ ἐκεῖθεν ἡ λιτανεία πρὸς τὸν νέον πρὸς ἐγκαινισμὸν ναὸν ἄρχεται.

Εἰ δὲ οὐχ εὑρίσκεται τοιοῦτος παλαιὸς ναός, ὁ καταμερισμὸς τῶν ἁγίων λειψάνων, ὁ ἑσπερινὸς καὶ ὁ ὄρθρος τελοῦνται κατ᾿ οἰκονομίαν ἐν τῷ νέῳ ναῷ καὶ ἐξ αὐτοῦ ἄρχεται καὶ εἰς αὐτὸν ἀπολήγει ἡ λιτή.

Εἰς τὸ Κύριε, ἐκέκραξα, *ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῶν ἐγκαινίων δ΄ καὶ τοῦ ἐπονομαζομένου ἁγίου δ΄.*

Στιχηρὰ ἰδιόμελα τῶν ἐγκαινίων. Ἦχος πλ. β΄

Ἐγκαίνια τιμᾶσθαι,* παλαιὸς νόμος,* καὶ καλῶς ἔχων·* μᾶλλον δὲ τὰ νέα τιμᾶσθαι δι᾽ ἐγκαινίων·* ἐγκαινίζονται γὰρ νῆσοι πρὸς Θεόν,* ὥς φησιν Ἡσαΐας·* ἅς τινας ὑποληπτέον* τὰς ἐξ ἐθνῶν Ἐκκλησίας,* ἄρτι καθισταμένας* καὶ πῆξιν λαμβανούσας* βάσιμον τῷ Θεῷ.* Διὸ καὶ ἡμεῖς* τὰ παρόντα ἐγκαίνια* πνευματικῶς πανηγυρίσωμεν.

Ὁ αὐτὸς

Ἐγκαινίζεσθε, ἀδελφοί,* καὶ τὸν παλαιὸν ἄνθρωπον ἀποθέμενοι,* ἐν καινότητι ζωῆς πολιτεύεσθε,* πᾶσι χαλινὸν ἐπιθέντες,* ἐξ ὧν ὁ θάνατος·* πάντα τὰ μέλη παιδαγωγήσωμεν,* πᾶσαν πονηρὰν τοῦ ξύλου* βρῶσιν μισήσαντες* καὶ διὰ τοῦτο μόνον* μεμνημένοι τῶν παλαιῶν,* ἵνα φύγωμεν.* Οὕτως ἐγκαινίζεται ἄνθρωπος·* οὕτω τιμᾶται* ἡ τῶν ἐγκαινίων ἡμέρα.

Ὁ αὐτός. Ἀνατολίου

Ἔθου πύργον ἰσχύος* τὴν Ἐκκλησίαν σου, Χριστέ,* προαιώνιε Λόγε·* ἐθεμελίωσας γὰρ αὐτὴν* ἐπὶ πέτραν τῆς πίστεως·* διὸ ἀσάλευτος διαμένει εἰς τὸ αἰῶνα,* ἔχουσα σὲ τὸν δι᾽ αὐτὴν ἐπ᾽ ἐσχάτων,* ἀτρέπτως γενόμενον ἄνθρωπον.* Εὐχαριστοῦντες οὖν,* ἀνυμνοῦμέν σε λέγοντες·* Σὺ εἶ ὁ πρὸ τῶν αἰώνων* καὶ ἐπ᾽ αἰῶνα καὶ ἔτι* Βασιλεὺς ἡμῶν·* δόξα σοι.

Ὁ αὐτός. Ἰωάννου μοναχοῦ

Τὴν μνήμην τῶν ἐγκαινίων* ἐπιτελοῦντες, Κύριε,* σὲ τὸν τοῦ ἁγιασμοῦ* δοτῆρα δοξάζομεν·* δεόμενοι ἁγιασθῆναι* ἡμῶν τὰ αἰσθητήρια τῶν ψυχῶν,* τῇ πρεσβείᾳ τῶν ἐνδόξων ἀθλοφόρων,* ἀγαθὲ παντοδύναμε.

Δόξα. *Τοῦ ἁγίου τοῦ νέου ναοῦ*

Καὶ νῦν. *Τῶν ἐγκαινίων.* Ἀνατολίου. *Ἦχος β´*

Τὸν ἐγκαινισμὸν τελοῦντες* τοῦ πανιέρου ναοῦ τῆς σῆς Ἀναστάσεως,* σὲ δοξάζομεν, Κύριε,* τὸν ἁγιάσαντα τοῦτον* καὶ τελειώσαντα* τῇ αὐτοτελεῖ σου χάριτι,* καὶ τερπόμενον* ταῖς ἐν αὐτῷ ἱερουργουμέναις* ὑπὸ πιστῶν μυστικαῖς καὶ ἱεραῖς τελεταῖς* καὶ προσδεχόμενον ἐκ χειρὸς τῶν δούλων σου* τὰς ἀναιμάκτους καὶ ἀχράντους θυσίας·* ἀντιδιδόντα δὲ τοῖς ὀρθῶς προσφέρουσι* τὴν τῶν ἁμαρτημάτων κάθαρσιν* καὶ τὸ μέγα ἔλεος.

Εἶτα γίνεται εἴσοδος, μεθ' ἣν τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Ὁ Ἀναγνώστης·

Βασιλειῶν Τρίτης τὸ ἀνάγνωσμα.

(Κεφ. η´ 22-23. 27-30)

Ὁ Διάκονος· Σοφία· πρόσχωμεν.

Ὁ Ἀναγνώστης·

Ἔστη Σολομὼν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου Κυρίου, ἐνώπιον πάσης ἐκκλησίας Ἰσραήλ, καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν καὶ εἶπε· Κύριε ὁ Θεὸς Ἰσραήλ, οὐκ ἔστι Θεός, ὡς σὺ ἐν τῷ οὐρανῷ

ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω. Εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, πῶς ὁ οἶκος οὗτος, ὃν ᾠκοδόμησα ἐν τῷ ὀνόματί σου; Πλὴν καὶ ἐπιβλέψεις ἐπὶ τὴν δέησίν μου, Κύριε ὁ Θεὸς Ἰσραήλ, ἀκούειν τῆς δεήσεως καὶ τῆς προσευχῆς, ἧς ὁ δοῦλός σου προσεύχεται ἐνώπιόν σου πρὸς σὲ σήμερον. Τοῦ εἶναι τοὺς ὀφθαλμούς σου ἀνεῳγμένους εἰς τὸν οἶκον τοῦτον ἡμέρας καὶ νυκτός· εἰς τὸν τόπον τοῦτον, ὃν εἶπας· ἔσται τὸ ὄνομά μου ἐκεῖ, τοῦ εἰσακούειν τῆς προσευχῆς, ἧς προσεύχεται ὁ δοῦλός σου εἰς τὸν τόπον τοῦτον ἡμέρας καὶ νυκτός. Καὶ εἰσακούσῃ τῆς δεήσεως τοῦ δούλου σου καὶ τοῦ λαοῦ σου Ἰσραήλ, ἃ ἂν προσεύξωνται εἰς τὸν τόπον τοῦτον. Καὶ σὺ εἰσακούσῃ ἐν τῷ τόπῳ τῆς κατοικήσεώς σου ἐν οὐρανῷ καὶ ποιήσεις καὶ ἵλεως ἔσῃ αὐτοῖς.

Ὁ Ἀναγνώστης·

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα.

(Κεφ. μγ′ 27, μδ′ 1-14)

Ὁ Διάκονος· Σοφία· πρόσχωμεν.

Ὁ Ἀναγνώστης·

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν καὶ τὰ τοῦ σωτηρίου ὑμῶν· καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος Κύριος. Καὶ ἐπέστρεψέ με, κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολάς· καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με. Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι᾿ αὐτῆς· ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι᾿ αὐτῆς. Καὶ ἔσται

κεκλεισμένη· διότι ὁ ἡγούμενος, οὗτος καθήσεται ἐν αὐτῇ τοῦ φαγεῖν ἄρτον ἐνώπιον Κυρίου. Κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βορρᾶν, κατέναντι τοῦ οἴκου. Καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

Ὁ Ἀναγνώστης·

Παροιμιῶν τὸ ἀνάγνωσμα.

(Κεφ. γ΄ 19-34)

Ὁ Διάκονος· Σοφία· πρόσχωμεν.

Ὁ Ἀναγνώστης·

Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν· ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει. Ἐν αἰσθήσει αὐτοῦ ἄβυσσοι ἐρράγησαν, νέφη δὲ ἐρρύησαν δρόσους. Υἱέ, μὴ παραρρυῇς· τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν, ἵνα ζῇ σὴ ψυχὴ καὶ χάρις ᾖ περὶ σῷ τραχήλῳ. Ἔσται δὲ ἴασις ταῖς σαρξί σου καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου· ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδούς σου· ὁ δὲ πούς σου οὐ μὴ προσκόψῃ· ἐὰν γὰρ κάθῃ, ἄφοβος ἔσῃ· ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις· καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας· ὁ γὰρ Κύριος ἔσται ἐπὶ πασῶν ὁδῶν σου, καὶ ἐρείσει σὸν πόδα, ἵνα μὴ σαλευθῇς. Μὴ ἀπόσχου εὖ ποιεῖν ἐνδεῆ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν. Μὴ εἴπῃς· Ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω σοι, δυνατοῦ σου ὄντος εὖ ποιεῖν· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Μὴ τέκταινε ἐπὶ σὸν φίλον κακά, παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί. Μὴ

φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην, μή τις εἰς σὲ ἐργάσηται κακόν. Μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζήλου τὰς ὁδοὺς αὐτῶν· ἀκάθαρτος γὰρ ἔναντι Κυρίου πᾶς παράνομος, ἐν δὲ δικαίοις οὐ συνεδρεύει. Κατάρα Κυρίου ἐν οἴκοις ἀσεβῶν· ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται. Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

Εἶτα ἡ ἐκτενής, ὡς συνήθως, μεθ' ἣν τὸ Καταξίωσον *καὶ τὰ πληρωτικά, ἤγουν* Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ..., *ἡ ἐκφώνησις καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας.*

Ἀπόστιχα ἰδιόμελα τῶν ἐγκαινίων

Ἦχος α'. Ἰωάννου μοναχοῦ

Ἐγκαινίζου,* ἐγκαινίζου ἡ νέα Ἱερουσαλήμ·* ἥκει γάρ σου τὸ φῶς* καὶ ἡ δόξα Κυρίου* ἐπὶ σὲ ἀνατέταλκε.* Τοῦτον τὸν οἶκον* ὁ Πατὴρ ᾠκοδόμησε·* τοῦτον τὸν οἶκον* ὁ Υἱὸς ἐστερέωσε·* τοῦτον τὸν οἶκον* τὸ Πνεῦμα τὸ ἅγιον ἐνεκαίνισε,* τὸ φωτίζον καὶ στηρίζον* καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

Στίχ. Δεξοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.

Ἦχος ὁ αὐτός. Ἀνατολίου

Πάλαι μὲν ἐγκαινίζων τὸν ναὸν* ὁ Σολομών,* ἀλόγων ζῴων θυσίας* καὶ ὁλοκαυτώματα προσέφερε, Κύριε·* ὅτε δὲ ηὐδόκησας, Σωτήρ,* τοὺς τύπους μὲν ἀργῆσαι,* γνωσθῆναι δὲ τὴν ἀλήθειαν,* ἀναιμάκτους θυσίας* τὰ πέρατα τοῦ κόσμου προσφέρει τῇ δόξῃ σου·* πάντων γὰρ δεσπόζων, τὰ πάντα ἁγιάζεις* τῷ ἁγίῳ σου Πνεύματι.

Στίχ. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

Ἦχος δ΄. Ἰωάννου Μοναχοῦ

Ἐγκαινίζεται σήμερον* ἡ ἐξ ἐθνῶν Ἐκκλησία* τῷ τιμίῳ καὶ ζωηρρύτῳ αἵματι* τῆς ἀχράντου καὶ ἀκηράτου πλευρᾶς* τοῦ σαρκωθέντος ἐκ τῆς ἁγίας Παρθένου,* Χριστοῦ τοῦ Θεοῦ ἡμῶν·* διὸ ἀθροισθεῖσαι τῶν πιστῶν αἱ χορεῖαι,* δοξάσωμεν τὸν Πατέρα* καὶ Υἱὸν* καὶ τὸ ἅγιον Πνεῦμα,* τὴν μίαν Θεότητα, τὴν κρατοῦσαν τὰ σύμπαντα.

Δόξα. *Τοῦ ἁγίου τοῦ νέου ναοῦ*

Καὶ νῦν. *Τῶν ἐγκαινίων. Ἦχος γ΄*

Πρὸς σεαυτὸν ἐπανάγου ἄνθρωπε,* γενοῦ καινὸς ἀντὶ παλαιοῦ* καὶ ψυχῆς ἑόρταζε τὰ ἐγκαίνια·* ἕως καιρὸς* ὁ βίος, ἐγκαινιζέσθω σοι* πάσης πολιτείας ὁδός·* τὰ ἀρχαῖα παρῆλθεν,* ἰδοὺ γέγονε τὰ πάντα καινά·* Τοῦτο τῇ ἑορτῇ καρποφόρησον,* τὴν καλὴν ἀλλοίωσιν ἀλλοιούμενος.* Οὕτως ἐγκαινίζεται ἄνθρωπος·* οὕτω τιμᾶται* ἡ τῶν ἐγκαινίων ἡμέρα.

Μεθ᾽ ὃ τὸ Νῦν ἀπολύεις, *Τρισάγιον.* Παναγία Τριάς, Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος δ΄

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν* καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα,* τοῦ ἁγίου σκηνώματος τῆς δόξης σου, Κύριε·* κραταίωσον αὐτὸ εἰς αἰῶνα αἰῶνος* καὶ πρόσδεξαι ἡμῶν* τὰς ἐν αὐτῷ ἀπαύστως προσ-

αγομένας σοι δεήσεις,* πρεσβείαις τῆς Θεοτόκου,* ἡ πάντων ζωὴ καὶ ἀνάστασις.

Δόξα. *Τοῦ ἁγίου τοῦ νέου ναοῦ*

Καὶ νῦν. *Καὶ εἰ μέν ἐστιν ἀγρυπνία τὸ* Θεοτόκε Παρθένε *καὶ ἡ εὐλόγησις τῶν ἄρτων.*

Εἰ δὲ οὐκ ἔστιν ἀγρυπνία ψάλλεται πάλιν τὸ ἀπολυτίκιον τῶν ἐγκαινίων καὶ γίνεται ἀπόλυσις, ἐν ᾗ μνημονεύεται καὶ τὸ ὄνομα τοῦ ἁγίου τοῦ μέλλοντος ἐγκαινίζεσθαι ναοῦ.



Εἰς τὸν Ὄρθρον

Εἰς τὸ Θεὸς Κύριος *τὸ ἀπολυτίκιον* Ὡς τοῦ ἄνω στερεώματος ..., Δόξα, *Τοῦ ἁγίου τοῦ νέου ναοῦ,* Καὶ νῦν, *καὶ πάλιν τῶν ἐγκαινίων, ὡς ἐν τῷ Ἑσπερινῷ.*

Μετὰ τὴν α' στιχολογίαν. Κάθισμα

Ἦχος πλ. δ'. Τὸ προσταχθὲν μυστικῶς

Τοῦ μαρτυρίου* τὴν σκηνὴν Χριστὸς παρέδειξε* καὶ ὁ θεσπέσιος* Μωσῆς ἐν γῇ ἐπήξατο* καὶ ναὸν ἐγκαινίζει* Σολομὼν ἐν θυσίαις·* ἡμεῖς δὲ* πρὸς τὴν νέαν Ἱερουσαλήμ,* τῇ πίστει καταφυγόντες δαυϊτικῶς,* δῶμεν θείαν ἀνύμνησιν* τῷ σταυρωθέντι δι' ἡμᾶς,* αἰτούμενοι συγχώρησιν* πάντων ὧν περ ἡμάρτομεν (δίς).

Μετὰ τὴν β' στιχολογίαν. Κάθισμα

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον

Ὁ σοφίας ἀρρήτου δημιουργός,* κατεσκεύασας θρόνον τοὺς οὐρανούς,* τὴν γῆν δὲ ὑποπόδιον* τῶν ποδῶν σου ἐκάλεσας·* καὶ τὸν ναόν σου τοῦτον,* ὃν εὐδόκησας, Κύριε,* ἐν τῷ ὀνόματί σου* κτισθῆναι εἰς δόξαν σου,* τοῦτον ἡρετίσω* εἰς τὴν σὴν κατοικίαν* ἀκούειν τὰς δεήσεις* τῶν ἐν αὐτῷ εἰσιόντων,* ἐν ᾧ πίστει βοῶμέν σοι·* Δέσποτα Χριστὲ ὁ Θεός,* τῶν πταισμάτων ἄφεσιν κατάπεμψον* τοῖς προσκυνοῦσιν ἐν πίστει* τὴν δόξαν σου (δίς).

Μετὰ τὸν πολυέλεον. Κάθισμα

Ἦχος δ'. Ταχὺ προκατάλαβε

Τῷ οἴκῳ σου, Κύριε,* πρέπει ἁγίασμα·* ἐν τούτῳ γὰρ τὸ ὄνομα* τὸ σόν, φιλάνθρωπε,* ἐνθέως δοξάζεται·* ὅθεν σὺν τῷ προφήτῃ* ἐκβοῶμέν σοι πίστει.* Πνεύματι τῷ ἁγίῳ* νῦν ἐγκαίνισον πάντας,* πρεσβείαις τῆς Θεοτόκου,* μόνε φιλάνθρωπε (δίς).

Εἶτα τὸ α' ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ' ἤχου.

Μεθ' ὃ ἀναγινώσκεται τὸ Εὐαγγέλιον τοῦ ἐπονομαζομένου ἁγίου καὶ ὁ ν' ψαλμός.

Δόξα. Ταῖς τοῦ σοῦ ἁγίου ...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου ...

Καὶ ψάλλεται τὸ ἰδιόμελον τοῦ ἁγίου τοῦ ναοῦ, μεθ' ὃ οἱ κανόνες τῆς α' καὶ γ' ᾠδῆς τῶν ἐγκαινίων μετὰ τῶν εἱρμῶν εἰς ς' καὶ τοῦ ἐπονομαζομένου ἁγίου εἰς η'. Εἰ δέ ἐστι Κυριακή, λέγονται οἱ ἀναβαθμοὶ τῆς Ὀκτωήχου καὶ Εὐαγγέλιον ἑωθινὸν καὶ κανόνες ὁ ἀναστάσιμος μετὰ τοῦ τῆς Θεοτόκου εἰς ς', τῶν ἐγκαινίων εἰς δ' καὶ τοῦ ἁγίου εἰς δ'. Καταβασίαι δὲ τῆς ἑορτῆς ἢ τῆς τυχούσης περιόδου. Τὰς δὲ ᾠδὰς α'-ς' τοῦ κανόνος τῶν ἐγκαινίων βλέπε εἰς τὴν λιτανείαν (σελ. 19-25).

Μετὰ τὴν γ' ᾠδήν. Κάθισμα

Ἦχος δ'. Ταχὺ προκατάλαβε

Τὰ πάντα ἐφώτισε,* τῇ παρουσίᾳ Χριστός·* τὸν κόσμον ἀνεκαίνισε,* Πνεύματι θείῳ αὐτοῦ·* ψυχαὶ ἐγκαινίζονται.* Οἶκος γὰρ ἀνετέθη* νῦν εἰς δόξαν Κυρίου,* ἔνθα καὶ ἐγκαινίζει* τῶν πιστῶν τὰς καρδίας,* Χριστὸς ὁ Θεὸς ἡμῶν* εἰς σωτηρίαν βροτῶν.

Δόξα. *Κάθισμα τοῦ ἁγίου*

Καὶ νῦν. *Ἦχος δ΄.* Ταχὺ προκατάλαβε

Ἐν πίστει τὰ ἐγκαίνια* ἐπιτελοῦμεν φαιδρῶς* ναοῦ τούτου, ἄχραντε,* εὐλογημένη ἁγνή,* Παρθένε πανύμνητε·* χαίροντες τῇ ἐλπίδι* τῇ εἰς σέ, Θεοτόκε,* αἰτοῦμέν σε τοῦ πρεσβεύειν* τῷ Σωτῆρι ἀπαύστως,* αὐτῷ τῷ σαρκωθέντι ἐκ σοῦ* σῶσαι τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν ϛ΄ ᾠδήν. Κοντάκιον

Ἦχος δ΄. Ἐπεφάνης σήμερον

Οὐρανὸς πολύφωτος* ἡ Ἐκκλησία* ἀνεδείχθη ἅπαντας* φωταγωγοῦσα τοὺς πιστούς·* ἐν ᾧ ἑστῶτες κραυγάζομεν·* Τοῦτον τὸν οἶκον* στερέωσον, Κύριε.

Ὁ οἶκος

Ἐπιδημήσαντος ἡμῖν* τοῦ Λόγου κατὰ σάρκα,* ὁ τῆς βροντῆς μὲν γόνος* φησὶ καθυπογράφων·* Ἐθεασάμεθα φαιδρῶς τὴν δόξαν,* ἣν εἶχεν ὁ Υἱὸς παρὰ Πατρός,* ἐν ἀληθείας χάριτι.* Ὅσοι δὲ πίστει τοῦτον ἐλάβομεν,* ἔδωκε τοῖς πᾶσιν ἐξουσίαν* τοῦ γενέσθαι τέκνα Θεοῦ·* οἳ οὐκ ἐξ αἱμάτων,* οὐδὲ ἐκ θελήματος σαρκὸς ἀναγεννηθέντες,* ἀλλ᾽ ἐκ Πνεύματος ἁγίου ἐπαυξηθέντες,* οἶκον προσευχῆς* ἐπήξαμεν καὶ βοῶμεν·* Τοῦτον τὸν οἶκον* στερέωσον, Κύριε.

Εἶτα ἀναγινώσκεται τὸ συναξάριον τοῦ Μηναίου, μεθ᾽ ὃ οἱ κανόνες τῆς ζ΄, η΄ καὶ θ΄ ᾠδῆς *(βλέπε σελ. 28-30).*

Εἶτα τὸ ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίθητε

Τῷ παναγίῳ Πνεύματι* ἐγκαίνισον, φιλάνθρωπε,* ψυχὰς καρδίας τῶν πίστει* τὰ ἱερὰ ἐγκαίνια* τοῦ οἴκου σου τοῦ πανσέπτου* ἐπιτελούντων, Κύριε· ἐν ᾧ τὰς προσευχὰς ἡμῶν* τῶν προσκυνούντων σε, Σῶτερ,* ὥσπερ θυσίαν προσδέχου.

Ἕτερον. Ἐν πνεύματι τῷ ἱερῷ

Ἣν τῷ ἀχράντῳ αἵματι* ἐξηγόρασας, Λόγε,* πανθαύμαστον καὶ πάντιμον* καὶ σεπτὴν Ἐκκλησίαν* ἐγκαίνισον ἐν Πνεύματι,* ἀγαθέ, καὶ κάλλυνον* ἀκτῖσι ταῖς θειοτάταις,* ὁ τῇ δόξῃ δοξάζων* τοὺς ἀξίως σοῦ ναοῦ* ἐγκαίνια ἐκτελοῦντας.

Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους δ′ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος δ′. Ἔδωκας σημείωσιν

Σήμερον ὁ ἔνθεος* καὶ ἱερὸς καὶ σεβάσμιος* τῆς Χριστοῦ Ἀναστάσεως* φαιδρῶς ἐγκαινίζεται* φωτοφόρος οἶκος·* καὶ νέμει ἐν κόσμῳ* τάφος ὁ θεῖος τὴν ζωὴν* καὶ ἐμπαρέχει* πηγὴν ἀθάνατον·* βλυστάνει ῥεῖθρα χάριτος,* θαυμάτων βρύει τὰ νάματα* καὶ δωρεῖται ἰάματα* τοῖς αὐτὸν πίστει μέλπουσιν (δίς).

Ἤστραψεν ἡ ἄνωθεν* φωτοφανὴς αἴγλη λάμπουσα* καὶ τὰ πάντα φωτίζουσα·* πιστῶς οὖν τιμήσωμεν* τὴν Χριστοῦ τοῦ κτίστου* Ἀνάστασιν πάντες* καὶ ἐγκαινίων ἱερῶν* τὴν ζωηφόρον θείαν πανήγυριν* ἐν ὕμνοις ἑορτάσωμεν* καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν,* ὅπως ἵλεων εὕρωμεν* τὸν Σωτῆρα καὶ Κύριον.

Μέσον γῆς ὑψούμενον* προκατιδεῖν ἐφιέμενοι,* τοῦ Σταυροῦ σκῆπτρον ἅγιον,* ψυχὰς προκαθάρωμεν,* ἀστραφθῶμεν φρένας,* φωτὶ λαμπρυνθῶμεν* καὶ ἐν δυνάμει θεϊκῇ* καταυγασθέντες, Χριστὸν ὑμνήσωμεν,* τῷ ξύλῳ τῷ σεπτῷ αὐτοῦ* ἁγιασμὸν παρεχόμενον* τοῖς ἐν πίστει γεραίρουσι* καὶ θερμῶς αὐτὸν μέλπουσιν.

Δόξα. *Τοῦ ἐπονομαζομένου ἁγίου*

Καὶ νῦν. *Τῶν ἐγκαινίων. Ἦχος πλ. α´*

Ὁ ἐπὶ τῶν κόλπων τῶν πατρικῶν* ἐπαναπαυόμενος, Λόγε,* τὸ Πνεῦμά σου τὸ ἅγιον κατάπεμψον ἐν τῷ ναῷ* τῷ εἰς τὸ ὄνομά σου ἀνεγηγερμένῳ.

Μεθ᾽ ὃ δοξολογία μεγάλη καὶ ἀπόλυσις.

ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ
ΕΙΣ
ΘΥΡΑΝΟΙΞΙΑ ΝΑΟΥ

Πρὸ τῶν πυλῶν τοῦ νέου ναοῦ, κεκλεισμένων οὐσῶν, τελεῖται παρὰ τοῦ Ἀρχιερέως ἡ ἀκολουθία τοῦ Ἁγιασμοῦ τῆς νεομηνίας καὶ μετ᾽ αὐτὴν λέγει

ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Καὶ λέγει ὁ Ἀρχιερεὺς ἐκ τῆς ἀκολουθίας τῶν ἐγκαινίων τὴν εὐχὴν ταύτην·

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας· ὁ διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ ἐγκαινίσας ἡμῖν τῆς τῶν πρωτοτόκων Ἐκκλησίας, τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων, τὴν εἴσοδον, ἔνθα ἦχος καθαρὸς ἑορταζόντων καὶ φωνὴ ἀγαλλιάσεως· αὐτός, φιλάνθρωπε Δέσποτα, ἐπίβλεψον ἐφ᾽ ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου, τοὺς τὰ θυρανοίξια ἐπιτελοῦντας τοῦ σεβασμίου ναοῦ (τοῦ δεῖνος) εἰς σύμβολον τῆς ἁγιωτάτης σου Ἐκκλησίας,

τούτέστιν αὐτοῦ τοῦ σκήνους ἡμῶν, ὅπερ καὶ ναόν σου καὶ μέλη Χριστοῦ σου διὰ τοῦ πανευφήμου ἀποστόλου Παύλου ὀνομάσαι κατηξίωσας· καὶ τοῦτον στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος ἀσάλευτον καὶ δεδοξασμένον ἐν σοί· καὶ ἀξίωσον ἡμᾶς ἐν αὐτῷ αἰνέσεις καὶ δοξολογίας ἀκαταγνώστους προσάγειν τῇ δόξῃ σου καὶ τῷ μονογενεῖ σου Υἱῷ, τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, καὶ τῷ ἁγίῳ σου Πνεύματι, ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει· καὶ προσκυνοῦντάς σε ἐν φόβῳ σου, τῶν θείων δειχθῆναι ἀξίους οἰκτιρμῶν, εὐπροσδέκτους τε τῇ σῇ ἀγαθότητι γενέσθαι τὰς δεήσεις ταύτας, ἃς ὑπὲρ ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ προσάγομεν, πρεσβείαις τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ἐκφώνως·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ τοῦ χοροῦ τὸ Ἀμὴν *ἐπειπόντος, λέγει αὖθις ὁ Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Καὶ ἐπισυνάπτει ὁ Ἀρχιερεὺς τὴν εἰθισμένην τῆς εἰσόδου εὐχήν·

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ λέγει ὁ Ἀρχιερεὺς κατὰ τὸν τύπον τῶν ἐγκαινίων τό·

Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν·* καὶ ἐπάρθητε, πύλαι αἰώνιοι* καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Καὶ ἀντιφωνεῖ τις ἔσωθεν τοῦ ναοῦ, ὄπισθεν τῶν κεκλεισμένων πυλῶν ἱστάμενος·

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;

Ὁ δὲ Ἀρχιερεὺς ἀποκρίνεται·

Κύριος κραταιὸς καὶ δυνατός·* Κύριος δυνατὸς ἐν πολέμῳ.

Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν* καὶ ἐπάρθητε, πύλαι αἰώνιοι,* καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Καὶ ἀντιφωνεῖ ὁ ἔσωθεν·

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;

Ὁ δὲ Ἀρχιερεὺς καὶ αὖθις ἀποκρίνεται·

Κύριος κραταιὸς καὶ δυνατός·* Κύριος δυνατὸς ἐν πολέμῳ.

Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν* καὶ ἐπάρθητε, πύλαι αἰώνιοι,* καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Καὶ πάλιν ἀντιφωνεῖ ὁ ἐντός·

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;

Καὶ ἀποκρίνεται ὁ Ἀρχιερεύς·

Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης.

Καὶ ἀνοίγονται αἱ πύλαι καὶ εἰσοδεύουσι ψάλλοντες τὸ ἀπολυτίκιον τῶν ἐγκαινίων·

Ἦχος β΄

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν* καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα* τοῦ ἁγίου σκηνώματος τῆς δόξης σου, Κύριε·* κραταίωσον αὐτὸ εἰς αἰῶνα αἰῶνος* καὶ πρόσδεξαι ἡμῶν* τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις,* πρεσβείαις τῆς Θεοτόκου,* ἡ πάντων ζωὴ καὶ ἀνάστασις.

Μεθ' ὃ καὶ τὸ κοντάκιον

Ἦχος δ'. Ἐπεφάνης σήμερον

Οὐρανὸς πολύφωτος* ἡ Ἐκκλησία* ἀνεδείχθη ἅπαντας* φωταγωγοῦσα τοὺς πιστούς·* ἐν ᾧ ἑστῶτες κραυγάζομεν·* Τοῦτον τὸν οἶκον* στερέωσον, Κύριε.

Εἶτα τὸ ἀπολυτίκιον τοῦ ἁγίου τοῦ νέου ναοῦ.

Τούτων ψαλλομένων ὁ Ἀρχιερεὺς ῥαντίζει διὰ τοῦ ἁγιάσματος τὸν νέον ναὸν καὶ τελεῖται ἐν αὐτῷ συναπτῶς ἡ θεία Λειτουργία, ἐν ᾗ Ἀπόστολος τοῦ ἁγίου καὶ Εὐαγγέλιον τῶν ἐγκαινίων *(βλέπε σελ.63-64).*

Κοινωνικόν· Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου. Ἀλληλούϊα.

Ε Ρ Μ Η Ν Ε Ι Α

ΠΑΝΤΩΝ ΤΩΝ

ΕΙΔΩΝ ΤΟΥ ΕΓΚΑΙΝΙΑΣΜΟΥ

Ταῦτά εἰσι τὰ διὰ τὸν ἐγκαινιασμὸν τοῦ θείου ναοῦ ἀπαιτούμενα εἴδη·

1. Ἅγιον μύρον ἱκανόν.
2. Τρεῖς μερίδες μαρτυρικῶν ἁγίων λειψάνων.
3. Μικρὰ ἀργυρᾶ λειψανοθήκη.
4. Κηρίον καθαρόν.
5. Μαστίχη, σμύρνα, ἀλόη, λίβανος, ῥητίνη, λάδανος τὰ ἀρκοῦντα.
6. Χύτρα καινή.
7. Θερμάριον ἢ σίτλα.
8. Χαρτία καὶ σχοινία λεπτά.
9. Λευκὴ λινὴ σινδὼν διὰ τὴν περιβολὴν τοῦ Ἀρχιερέως.
10. Μανδήλια λευκὰ λινὰ δύο.
11. Ζῶναι ἐξ ὑφάσματος ἐννέα.
12. Νίτρα (σάπωνες) λευκὰ τρία.
13. Βυκίον (ἀγγεῖον) πλῆρες οἰνάνθης.
14. Βυκίον (ἀγγεῖον) πλῆρες ῥοδοστάγματος.
15. Τεμάχια λινὰ ἢ χαρτία, ἔχοντα τὰς εἰκόνας ἢ μόνα τὰ ὀνόματα τῶν Εὐαγγελιστῶν, τέσσαρα.
16. Κατασάρκιον λευκὸν λινοῦν κατὰ τὰς διαστάσεις τῆς ἁγίας τραπέζης, ἔχον παρηρτημένα τέσσαρα σχοινία λεπτά.
17. Ἐνδυτὴ κατὰ τὸ μέγεθος τῆς ἁγίας τραπέζης.
18. Κανδήλα καινή.
19. Ἀντιμίνσια, ὅσα δόξει τῷ Ἀρχιερεῖ.


ΙC
ΧC
Ὁ ὬΝ
Ἡ ἌΚΡΑ
ΤΑΠΕΙΝΩ
ΣΙΣ

Περιεχόμενα

Παράρτημα


ἸΩ
ὁ θεο-
λόγος

Τοῦ ἐπιμελητοῦ τῆς ἐκδόσεως ταύτης
στίχοι ἀφιερωτικοί, ὧν ἡ ἀκροστιχίς·
«Τῷ διδασκάλῳ Ἰ(ωάννῃ) Μ. Φ(ουντούλῃ) Ι.Σ.»

Τιμᾶν διδασκόμενοι τοὺς διδασκάλους,
Ὡς ἀφορμὴν τοῦ εὖ ζῆν παιδείας,
Διδάσκαλον λατρείας τῆς Ἐκκλησίας
Ἰωάννην χρεωστικῶς ἐπαινοῦμεν,
Διδόντα ἡμῖν λατρευτικὴν ἀγάπην,
Ἀρίσταις διδαχαῖς καὶ ἀποκρίσεσι,
Σεμνοῖς τε τρόποις καὶ ἐπιστημοσύνῃ
Κλεῖσαντα λειτουργικὴν γραμματείαν.
Ἁπάσης γνώστην τυπικῆς εὐταξίας
Λαμπρὸν ἐξηγητὴν πολλῶν δυσνοήτων,
Ὡς ἀντίδωρον τιμῆς καὶ εὐγνωμοσύνης,
Ἱερὸν τ' ἀνάθημα πατρῳζούσης ἀγάπης,
Μικρὰν βίβλον ταύτην αὐτῷ ἀφιεροῦμεν,
Φῶς Χριστοῦ ἰδεῖν εὐχόμενοι ἐν πόλῳ,
Ἱερώνυμος θύτης ταπεινὸς Κυρίου
Σίμωνος Πέτρας, ἐν Ἄθῳ, οἰκῶν ἐν μάνδρᾳ.

Στοιχειοθεσία: Γραφικαὶ τέχναι Γ. Δεδούση, Προνοίας 17, Θεσσαλονίκη.
Σελιδοποίησις: Ἱερὰ Μονὴ Σίμωνος Πέτρας
Φίλμς - μοντάζ: Ἰω. Κάππης, Αἰγαίου 6, Εὔοσμος, Θεσσαλονίκη.
Ἐκτύπωσις - βιβλιοδεσία: Γραφικαὶ τέχναι «ΜΕΛΙΣΣΑ»,
Ἀσπροβάλτα Θεσσαλονίκης.

Σχέδια καὶ ἐπίτιτλα ἐκ τοῦ ἀρχείου τῆς Ἱερᾶς Μονῆς.

Α´ Ἔκδοσις: Μάϊος 2003
Β´ Ἔκδοσις: Ἰούνιος 2006
SET 960-8474-14-0
ISBN 960-8474-19-1

Κεντρικὴ διάθεσις:
Ἱερὸν Κοινόβιον Εὐαγγελισμοῦ
630 71 ΟΡΜΥΛΙΑ
